Εὖ δὲ ἴσμεν καὶ ἀδιστάκτως πεπείσμεθα, ὅτι ἡ φιλόθεος αὐτῆς Ἱερότης οὕτω καὶ οὐκ ἄλλως διδάξει καὶ ποιήσει, καὶ κοινῇ καὶ ἰδίᾳ, ἀξίως τῆς ὑψηλῆς καὶ Ἀποστολικῆς αὐτῆς ἐντολῆς καὶ διακονίας καὶ τῆς Ἐκκλησιαστικῆς ὑπολήψεως: Εὐχόμεθα δὲ καὶ πᾶσι τοῖς ὑπ' αὐτῆς ἐν Κυρίῳ πολιτευομένοις ἰδιώταις καὶ ἄρχουσι

καὶ τοῖς συμποιμαίνουσι θεοφιλεστάτοις Ἐπισκόποις εὐηνίως καὶ θεοφιλῶς πρὸς τὴν ἑαυτῶν σωτηρίαν ἀναγομένους Χριστῷ Σωτῆρι, τῇ τῆς Ἐκκλησίας ἀειζώῳ καὶ ζωοποιῷ κεφαλῇ, προσφυῶς καὶ ἀρρότως σύμπαντας συναρμολογεῖσθαι τὴν δογματικὴν καὶ τὴν κανονικὴν συμφυΐαν καὶ συνάρμοσιν, τῇ αὐτοῦ ἀφάτῳ χρηστότητι καὶ φιλανθρωπίᾳ· οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετ' αὐτῆς καὶ μετὰ παντὸς τοῦ λαοῦ αὐτῆς.

ᾳωξζ'. ὀκτωβρίου κή.

ΓΡΗΓΟΡΙΟΣ ἐλέῳ Θεοῦ κ. τ. λ.

Ὑψηλότατε καὶ γαληνότατε Αὐθέντα καὶ Ἡγεμὼν τῶν Ἡνωμένων Ἡγεμονιῶν Βλαχίας καὶ Μολδαβίας, κύριε κύριε Κάρολε Α'. υἱὲ ἡμῶν ἐν Χριστῷ μεγαλοπρεπέστατε· τὴν ὑμετέραν γαληνὴν Ὑψηλότητα ἐκ κέντρου καρδίας εὐχόμενοι καὶ πατρικῶς ἀσπαζόμενοι, ὑπερηδιστα προσαγορεύομεν.

Οὐκ ἄνευ Θεοῦ, τοῦ πάντα κατὰ τὰς ἀνεξιχνιάστους καὶ αἰωνίους αὐτοῦ βουλὰς διεξάγοντος, καὶ τοσοῦτο τῆς ἑαυτοῦ ἐξουσίας ἑκάστοτε νέμοντος τοῖς υἱοῖς τῆς γῆς, ὅσον ἐγγύθεν ἢ πόρρωθεν τῇ ἑαυτοῦ Ἐκκλησίᾳ καθυπουργεῖ λαὸς ἐκ πατέρων εὐσεβὴς, ὁ Δακικὸς, τὴν ὑμετέραν ἐπ' αἰσίοις προσεκαλέσατο θεοστήριστον Ὑψηλότητα, ἄνδρα φύσει καὶ ἀγωγῇ καὶ παιδεύσει ἐν τοῖς εὐδοκιμωτέροις τῶν χριστιανῶν Ἡγεμόνων καταλεγομένου. Ὅς γε, οἷά περ τίμιον καὶ ἔρασμιον (φασὶν οἱ ἑωρακότες) τῆς τῶν Τευτόνων σοφῆς καὶ καλοκἀγάθου φρενὸς ἔκμαγεῖον, θεραπεύων οὐκ ἐν παρέργῳ τὴν τὰ κράτιστα τῆς πολιτείας καρποδοτοῦσαν Πλατωνικὴν συζυγίαν, φιλοσοφίαν ἡγεμονικὴν καὶ ἡγεμονείαν φιλόσοφον, οὐδὲ ἐκεῖνο φαίνεται τὸ παράπαν ἠγνοηκὼς, ὅτι τὸ θεοσεβεῖν καὶ κατὰ Χριστὸν Ἰησοῦν φρονηματίζεσθαί τε καὶ ἄρχειν, τοῦτ' ἄρα τῆς ἀνθρωπίνης μεγαλειότητος καὶ ἰσχύος πέφυκεν ὅρος ἀκρότατος, καὶ τῆς περὶ τὸ κυβερνᾶν ἐμπειρίας ἡ καλλιστέφανος καὶ θεόκραντος κορωνίς. Χωρὶς γὰρ τοῦ ὑπογραμμὸν ἀρετῆς γίγνεσθαι τῷ ὑπηκόῳ παντὶ τὸν θεοσεβοῦντα πολίταρχον, φύσει ἐνεστιν ἐν τῷ φόβῳ τοῦ Κυρίου ἡ θεοδώρητος εὐλογία καὶ χάρις, μεθ' ἧς καὶ δι' ἧς, καθάπερ κρῖνον, ἐξανθοῦσιν αἱ πολιτεῖαι καὶ τὰ βασίλεια. Εἰκότως· ὅπου γὰρ τῶν ἔργων πάντων καὶ τῶν πραγμάτων Θεὸς ἡγεῖται, ἡ ἀρχὴ καὶ τὸ τέρμα πάντων, ἐνταῦθα δεξιὰ γίγνεται πάντα καὶ ἐμμελὴ καὶ θυμήρη, καὶ εἴσω τῶν ὁρμῶν τῆς εὐδαιμονίας ἐγκαθορμίζει. Διὸ καὶ τὸ ὑμέτερον

περίνουν οὐχ ἥκιστα, ἡ καὶ φιλόχριστον καὶ φιλόλαον ὕψος, γαληνότατε Ἡγεμών, βόλις ἀψάμενον τῶν οἰκείων τῆς ἡγεμονικῆς νηός, αὐτίκα μάλα οὐκ εἰς ἕτερον ἀπέβλεψε φρόντισμα ἢ πρὸς τὸ στηρίξαι τὸ τῶν ἐπικρατείων ἐρυμνὸν καὶ ἀδιάσειστον ἔρεισμα, τὴν τοῦ ὑπηκόου θρησκείαν, ἔνθεν μὲν, τὸ τοῦ ἐπικλήρου διαδόχου θρήσκευμα νόμῳ φιλευσεβεῖ προοικονομήσας, ἔνθεν δὲ, τὸ τοὺς θεσπαγεῖς κρατῦναι δεσμοὺς περὶ πλείστου ποιησάμενος, οἷς οἱ τῆς εὐσεβείας Ἀποστολικοὶ καὶ Συνοδικοὶ αἰῶνες δογματικῶς καὶ κανονικῶς συνήρμοσάν τε καὶ συνήρθρωσαν τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγ. Ἐκκλησίᾳ τὰς ἐν Δακίᾳ θεολοσμήτους Ἐκκλησίας, ὃν τρόπον καὶ τὰς ἄλλας, τὰς ὑπὸ τὸν Πατριαρχικὸν, Ἀποστολικὸν καὶ οἰκουμενικὸν θρόνον τελούσας ἵνα τὰ ἔσω καὶ τὰ ἐκτὸς, ὡς οἷόν τε, ἀμφιλαφῶς, περιπεφραγμένως καὶ φιλαδέλφως, κατὰ τὸ παρῆκον, καὶ κατὰ τὸ μέτρον τῆς πνευματικῆς ἡλικιώσεως ἐπισκοπούμεναί τε, καὶ, εἴπη δέοι, συνετιζόμεναι, καὶ πᾶσαι ὁμοθυμαδὸν συστρατεύμεναι τῷ Βασιλεῖ τῶν δυνάμεων, συνευσεβῶσι καὶ συμμεγαλύνωνται.

Τὸ μὲν οὖν Ὑμέτερον γαληνότατον Ὕψος οἶδε μέν, ὅτι τὸ δόγμα, γυμνωθὲν τῆς περὶ τὴν πρᾶξιν ἀκριβείας καὶ κανονικότητος, ἄπρακτος γίγνεται πίστις, καὶ οὐ τελεσφορεῖ· οἶδε δ' ὁμοίως, ὅτι οὐχ ὅπως τὰ δογματικὰ, ἀλλὰ καὶ ὃν φαμὲν κανονικὸν καὶ διοικητικὸν τῆς Ἐκκλησίας διάκοσμον οὐ ψιλῆς ἀνθρωπίνης ἐπινοίας καὶ νομοθεσίας ἐπίσφαλες, καὶ ἄλλοτ' ἄλλο, καθὼς ἂν τύχωσι διανοουμένοι οἱ ἄλλοτ' ἄλλοι νομοθέται καὶ ἄρχοντες, τυγχάνει ὂν κατασκεύασμα, οὐμενοῦν· ἀλλ' ἄμφω τοῦ ἁγίου Πνεύματος ὑπάρχει ἀναλλοίωτα καὶ πανάκρατα νομοθετήματα, ἐξ οὗ Προφῆται καὶ Ἀπόστολοι καὶ Σύνοδοι ἐξαυγασθέντες, τὰ κοινὰ τῇ Ἐκκλησίᾳ πάσῃ παντα χοῦ συμφέροντα εἰς τὸ διηνεκὲς ἐθέσπιξαντο, καθὰ διδάσκει ἡ ἁγία οἰκουμενικὴ ἑβδόμη Σύνοδος. Πᾶσα γοῦν ἡ τοῦ Χριστοῦ καθολικὴ Ἐκκλησία, ὅπου περ γῆς καὶ χθονὸς καὶ ἀνθρώπων ἔστιν ἱδρυμένη, πάντα τὰ κατὰ τοὺς Ἐπισκόπους καὶ τὰς Συνόδους καὶ τὸν Κλῆρον καὶ τὰ ἱερὰ Μυστήρια, καὶ τοὺς τὸν μονήρη βίον αἱρουμένους διὰ τὸν Κύριον οὐκ ἄλλως ἀσπάζεται καὶ οἰκονομεῖ, ἢ κατὰ τὰ ἄνωθεν καὶ ἐς θεῦρο Ἀποστολικῶς καὶ Συνοδικῶς διακρατήσαντα· οὐδὲ γὰρ ὅλως τιμᾷ νομοθεσίαν ἀνθρωποπλάστου ἐν Κράτει Χριστιανικῷ, ἥτις ἀνατρέπειν ἐπιχειρεῖ τὴν τοῦ παναγίου Πνεύματος εἰς τοὺς αἰῶνας ἀμετάσαλευτον, ἢ συγχεῖν πειράται εἰκῇ ἐξουσίας ἀσυγχύτους

καὶ ἀλλήλων οὐδὲν ἧττον εὐδιακρίτους, ἢ ὅσον ἡ ψυχὴ τοῦ σώματος· καὶ διὰ ταῦτα κινδυνεύει τοῖς ἔργοις βεβαιοῦν τὸν λόγον τοῦ Προφήτου, ὅτι ὁ ἁπτόμενος τοῦ θυσιαστηρίου ἐστὶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τῶν ὀφθαλμῶν αὐτοῦ.

Ταῦτα τοίνυν οὕτως ἔχοντα καὶ πιστευόμενα ἐν ὅλῃ τῇ καθολικῇ καὶ Ἀποστολικῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καθὼς ἡ καθ' ἡμᾶς μεγάλη Ἐκκλησία μετὰ πάσων τῶν ὁμοδόξων καὶ αὐτοκεφάλων ἐγγράφως καὶ Συνοδικῶς ἀπεφήνατο, γινώσκουσα ἡ ὑμετέρα μάλα συνετὴ καὶ ἐμβριθεστάτη Ὑψηλότης, ὅτε τοῖς πᾶσι ποθεινὸς καὶ ἀγαπητὸς ἐνεδήμει πέρυσιν ἐν τῇ δε τῇ Βασιλευούσῃ, πολλά τε καὶ φιλεύσεβῆ καὶ δίκαια εὐμενῶς διαλεξαμένη, διεβεβαιοῦτο καὶ ἐπηγγέλλετο ἡγεμονικῶς, καθὰ καὶ οἱ περὶ αὐτὴν ἐκλαμπροὶ καὶ εὐσεβεῖς ὑπουργοί, ὅτι, ἅμα εὐκαιρίας ἐπιλαβομένη, αὐτίκα μετὰ προθυμίας διαπράξαιτο, τὸ ἐπ' αὐτῇ, τῆς τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν τῶν ἐν Δακίᾳ εἰρηνικῆς καὶ κανονικῆς πορείας τὴν ταχυτὴν ἀποκατάστασιν, παντοιῶν μὲν ἔξω τῆς εὐθείας τῶν Κανόνων ἐκτραχηλισθὲν εἰς τὸ κανονικὸν ἐπανάγουσα· εἴτι δὲ τόλμημ' ἀντεκκλησιαστικὸν ἢ καινοτόμημα ἢ παράχαραγμα τῆς προλαβούσης δυναστείας, ὁδῷ βουλευτικῇ καὶ ἐπισήμῳ καθάπαξ ἀκυροῦσα, οἷα πρέπει Ἡγεμόνι μεγαλεπηβόλῳ καὶ μεγαλόφρονι, παρὰ Κυρίου ἀπεκδεχομένῳ τὴν μεγαλοπρέπειαν καὶ τὴν δύναμιν.

Τοιγαροῦν τοιαῦτα καὶ οὕτω βέβαια ὡς ἐμπέδα κεκτημένοι τὰ ἐγγόνα παρὰ τῆς ὑμετέρας θεοστηρίκτου Ὑψηλότητος ἡ Μετριότης ἡμῶν, σὺν τῇ περὶ ἡμᾶς ἱερωτάτῃ χορείᾳ τῶν σεβασμίων Μητροπολιτῶν, περὶ τῆς κατ' εὐχὴν ἐπανορθώσεως τῶν οὐ καλῶς ἐχόντων, κατὰ τὸ πνεῦμα τῶν πρὸς τὸν ἱερώτατον Οὐγγροβλαχίας Μητροπολίτην, ἡμέτερον ἀγαπητὸν ἐν Χριστῷ ἀδελφὸν καὶ σύλλειτουργὸν, σήμερον ἀπολυομένων Πατριαρχικῶν γραμμάτων, ὑπὸ δὲ τοῦ ἱεροῦ καθήκοντος ὁρμώμενοι τῆς ὑψηλῆς ἡμῶν ἐντολῆς τοῦ μεριμνᾶν ὑπὲρ τῆς εὐσταθείας καὶ ὀρθοφροσύνης τῶν ἐν τῇ περιφερείᾳ τοῦ καθ' ἡμᾶς ἁγιωτάτου θρόνου ἁγίων τοῦ Χριστοῦ Ἐκκλησιῶν, γράφοντες διὰ τοῦδε τοῦ πατρικοῦ ἡμῶν, ὀφειλομένως ἐπειγόμεθα ὑπομνῆσαι τὴν αὐτῆς περιφανεστάτην Ὑψηλότητα ἐκείνας δὴ τὰς ἀριζήλους διαβεβαιώσεις καὶ ἐπαγγελίας, τὰς περὶ τῆς ἐπισήμου ἀκυρώσεως τῶν τέως ἐν Δακίᾳ καινοτομηθέντων παρὰ τὰ Συνοδικῶς τεθεσπισμένα, καὶ ἰδίᾳ περὶ τῆς κανονικῆς ἐγκαταστάσεως καὶ ψήφου τῶν ἐν τῇ πλάνητι τροχιᾷ τῆς ἀντικανονικότητος διαπορευομένων Ἐπισκόπων. Θάρρει δὲ καὶ

φίλτρῳ πατρικῷ δεόμεθ' αὐτῆς καὶ συνεκλιπαροῦμεν, ὥστε εὐδοκήσασαν παραστῆναι τοῖς περὶ αὐτὴν ὑπουργοῦσι καὶ βουλευομένοις, ἡλίκον μὲν ὄρον εἴη ἄρα δεινὸν τοῖς ἔθνεσιν ἡ καινοτομία, χρημνός τις οὖσα γοήτρου καὶ ὀλίσθου ἀνάπλεως, οὗ γενομένη ἡ πολιτεία, οὐδαμῶς στῆναι δύναται, οὐδὲ περὶ τὰ ἐκτὸς καὶ γήϊνα, μήτοι γε περὶ τὰ πνευματικὰ καὶ ἐπουράνια· πόσον δὲ ἑκάτερα ἀλλήλοις συνέζευκται καὶ συνῆπται, ὥστε καὶ μόνην τὴν ἑνὸς οὐτινοσοῦν τῶν θείων δεσμῶν καταπάτησιν ἀνεπισχέτως ὠθεῖν πρὸς ἀνατροπὴν τῶν τῆς πολιτείας, τοσούτῳ ῥᾷον καὶ προπετέστερον, ὅσον ἀτελῆ τἀνθρώπεια πάντα φύσει ὁμολογεῖται. Διὸ δὴ παντὸς καὶ πάντοτε συμβαίνει πρώτους ἀπολαύειν τῶν τῆς εἰλικρινοῦς θεοσεβείας ἀγλαϊῶν καρπῶν τοὺς ἄρχοντας ἐκ τοῦ πορίζειν αὐτοῖς τὴν εὐσέβειαν λαὸν ἠθικῶς καὶ κοινωνικῶς κατεσκευασμένον.

Οἱ γοῦν ἀοίδιμοι Ἡγεμόνες καὶ Βασιλεῖς καὶ Αὐτοκράτορες, ὅπως περ μνήμης εὐφήμου καὶ ἀθανάτου ἠξίωνται ἐν τῇ τῆς εὐσεβείας ἱστορίᾳ, διὰ τοῦτο μᾶλλον παρὰ Θεῷ καὶ τοῖς εὖ φρονοῦσι τῶν θνητῶν ἐκλείσθησαν καὶ ἐκραταιώθησαν καὶ ἐμεγαλύνθησαν, ὅτι, ἀκριβεῖς γενόμενοι φύλακες πάντων, ὅσων παρειλήφεσαν Ἐκκλησιαστικῶν διδαγμάτων παρὰ τῶν οἰκουμενικῶν Συνόδων, καὶ τῆς τοῦ Χριστοῦ καθολικῆς Ἐκκλησίας γνήσιοι υἱοὶ καὶ πρόμαχοι καὶ στρατιῶται χρηματίσαντες, λάβαρον τροπαιοφόρον αὐτὴν ἔσχον τὴν εὐσέβειαν· αὐτὸν δὲ τὸν ἀπειροδύναμον Θεὸν ἐκτήσαντο κραταιὸν ἀντιλήπτορα, παρ' οὗ πᾶσα δόξα καὶ ἐξουσία καὶ πᾶν δώρημα καταβαίνει τέλειον τοῖς ἰδιώταις καὶ τοῖς ἄρχουσιν. Οὐκοῦν αὐτοῦ ἐκείνου τοῦ μεγάλου καὶ πλουσιοδώρου Θεοῦ ἡμῶν καὶ τοῦ Χριστοῦ αὐτοῦ, τοῦ θεμελιωτοῦ καὶ τελειωτοῦ τῆς Ἐκκλησίας, καὶ τοῦ θείου Παρακλήτου, τοῦ μόνου νομοθέτου καὶ ἁγιαστοῦ αὐτῆς, ἡ χάρις καὶ ἡ εὐλογία στηρίζοι καὶ μεγαλύνοι τὸν τῆς ὑμετέρας φιλοθέου Ὑψηλότητος πολύδοξον θρόνον, καὶ χαρίζοιτο αὐτῇ τε καὶ παντὶ τῷ ὑπηκόῳ τὰ ἐγκόσμια καὶ τὰ ὑπερκόσμια ἀγαθά. Γένοιτο! ,ωιξ΄. ὀκτωβρίου λ΄.

Τῆς ὑμετέρας Γαληνοτάτης Ὑψηλότητος
εὐχέτης πρὸς Θεὸν διάπυρος
καὶ ὅλως προθυμότατος,
† Ὁ Κωνσταντινουπόλεως ΓΡΗΓΟΡΙΟΣ.

Τῷ Παναγιωτάτῳ Πατρὶ καὶ Οἰκουμενικῷ Πατριάρχῃ κ.κ. Γρηγορίῳ τῷ ς΄.

Παναγιώτατε Πάτερ!

Τὴν ἐπιστολήν, ἣν ἡ Ὑμετέρα Παναγιότης εὐηρεστήθη ἀπευθῦναί μοι, ὑπὸ ἡμερομ. 30 Ὀβρίου παρελθόντος, ἀντικείμενον ἔχουσαν τὸ ἀγώμαλον τῆς θέσεως τῆς Ἐκκλησίας καὶ τινων ἐκ τῶν μελῶν τοῦ ἀνωτέρου Κλήρου ἐν Ῥωμανίᾳ, πανευλαβῶς καμισάμενος, τὸ περιεχόμενον αὐτῆς μετὰ σπουδαιοτάτης προσοχῆς ἐμελέτησα.

Πρὸ πάντων χάριτας ὁμολογῶ τῇ Ὑμετέρᾳ Παναγιότητι ἐπὶ τῇ ἀληθῶς πατρικῇ Αὐτῆς πρὸς με στοργῇ καὶ εὐνοίᾳ, οὐχ ἧττον δὲ καὶ ἐπὶ τῷ Εὐαγγελικῷ καὶ διαλλακτικῷ πνεύματι, ὅπερ προίσταται τῆς ἐπιστολῆς Αὐτῆς.

Οὐδόλως διστάζω ἐπαναλαβεῖν τῇ Ὑμετέρᾳ Παναγιότητι τὴν ἔκφρασιν τοῦ αὐτοῦ φρονήματος, ὅπερ ἐν καιρῷ ἐπρέσβευσα πρὸς τὸν προκάτοχον Αὐτῆς ἐπὶ τοῦ προκειμένου, τόσῳ δ' ἧττον, ὅσῳ, καθ' ἃ ὀρθότατα παρατηρεῖ ἡ Ὑμ. Παναγιότης, ὀφείλω εἰς ἐμὲ αὐτὸν καὶ εἰς τὴν εὐημερίαν τῆς υἱοθετησάσης με χώρας μεριμνᾶν ὑπὲρ τῆς θρησκείας τοῦ λαοῦ, οὗ τὰς τύχας καὶ τὸ μέλλον μοι ἐνεπιστεύσατο ἡ θεία πρόνοια, μηδεμιᾶς προσπαθείας φειδόμενος πρὸς ταχεῖαν ἐπανόρθωσιν παντὸς τοῦ δυναμένου ἐπηρεάσαι αὐτῆς.

Τελευτῶν, εὐτυχῆ νομίζω ἐμαυτὸν, ἀναγγέλλων τῇ Ὑμ. Παναγιότητι, ὅτι ἡ Κυβέρνησίς μου, ἐντελῶς συμμεριζομένη τὸ ἡμέτερον φρόνημα, ἅμα τῇ προσεχεῖ συνελεύσει τῶν ἤδη συγκαλεσθέντων Νομοθετικῶν σωμάτων, οὐδενὸς ἄλλου ταχύτερον μεριμνήσει ἢ τοῦ ὑποβαλεῖν αὐτοῖς Ἐκκλησιαστικὸν νομοσχέδιον, ὅπερ, συμβιβάζον τὰς τῆς θρησκείας ἐντολὰς, ἐπανορθώσει, ὡς ἐλπίζω, τὰ ἐγκλήματα, καὶ διασκεδάσει τοὺς φόβους τῆς μητρὸς Ἐκκλησίας.

Συνιστῶν καὶ αὖθις ἐμαυτὸν εἰς τὰς εὐπροσδέκτους δεήσεις καὶ πατρικὰς εὐλογίας τῆς Ὑμ. Παναγιότητος, διατελῶ μετὰ βαθυτάτου σεβασμοῦ, Παναγιώτατε Πάτερ,

Εὐπειθέστατον Αὐτῆς πνευματικὸν τέκνον
(Ὑπογρ.) ΚΑΡΟΛΟΣ.
Βουκουρέστιον, 29 Ὀβρίου 1867.
(Τ. Σ.)

49. Ὀργανοθήκη τῆς Μεγ. τοῦ Γένους σχολῆς.

Εἷς τῶν ὁμογενῶν, ὁ κ. Μιχαὴλ Καϊνατάνης, λίαν φιλοτίμως προσηνέγκεν εἰς τὴν ὀργανοθήκην τῆς Μ. τοῦ Γένους σχολῆς τὴν κατὰ Μόρσιαν τηλεγραφικὴν μηχανήν, ἀξίας 800 περίπου φράγκων. Διὸ καὶ ἡ Σχολαρχία ἀπέστειλεν εἰς τὸν φιλογενῆ τοῦτον Κύριον τὴν παρὰ πόδας εὐχαριστήριον ἐκ μέρους τῆς σχολῆς ἐπιστολήν.

Ἀξιότιμε Κύριε!

Εὐχαρίστως ἀποδεξαμένη ἡ Σχολαρχία τῆς μεγάλης τοῦ Γένους σχολῆς τὴν διὰ τοῦ ἐλλογίμου Καθηγητοῦ κ. Ἀνδρ. Σπαθάρη προσενεχθεῖσαν πάνυ φιλοτίμως τῇ Ἐθνικῇ ταύτῃ σχολῇ κατὰ Μόρσιαν τηλεγραφικὴν μηχανήν, ταύτην μὲν ἐν τῇ Ὀργανοθήκῃ ἐγκατέθετο, πρὸς διηνεκῆ διδασκαλίαν τῶν φοιτώντων, τὸ δὲ ὑμέτερον δώρημα κατ' ὀφειλὴν ἐν ταῖς πρὸς τὴν σχολὴν εὐεργεσίαις καὶ δωρεαῖς ἐγκατέγραψεν εἰς ἀΐδιον μνημόσυνον. Ἀπονέμουσα δὲ ὑμῖν, ἐπ' ὀνόματι τῆς σχολῆς, τὰς ὀφειλομένας εὐχαριστίας, ἐπιφυλάττεται ἵνα ἐν καιρῷ τῷ προσήκοντι εὔφημον καὶ δικαίαν ποιήσηται μνείαν τῆς ὑμετέρας φιλοτίμου ταύτης προσφορᾶς.

Δέξασθε τὴν διαβεβαίωσιν κτλ.

Ἐν τῇ Μεγ. τοῦ Γένους σχολῇ, αωξζ'. νοεμβρίου ις'.

Ὁ Σχολάρχης Ἀρχιμ. ΕΥΣΤ. ΚΛΕΟΒΟΥΛΟΣ.

Ὁ Γραμματεὺς Β. Α. ΚΑΛΛΙΦΡΩΝ.

50. Ἀποβίωσις τοῦ Μητροπολίτου Μόσχας.

Συνεπείᾳ τῆς κατὰ τὴν ι0'. νοεμβρίου ἀποβιώσεως τοῦ Μητροπολίτου Μόσχας Φιλαρέτου, ἄγοντος τὸ 83 ἔτος τῆς ἡλικίας, τῇ κζ'. ὁ Μ. Πρωτοσύγκελλος, μεταβὰς εἰς τὴν ἐν Σταυροδρομίῳ Ῥωσσικὴν πρεσβείαν, ὅπως προσενέγκῃ τῇ Λ. Ἐξ. ἐκ μέρους τῆς Α. Θ. Π. τὰ συλλυπητήρια ἐπὶ τῇ ἀποβιώσει τοῦ ἀοιδίμου τούτου Ἱεράρχου, ἐξέφρασε, πρὸς πολλοὺς ἄλλους, ὅτι ἡ ὀρθόδοξος Ἐκκλησία ἐστερήθη τοῦ προμάχου τῆς ὀρθοδοξίας. Ἡ Α. Ἐξ. ἀφοῦ ἐξέφρασε τὴν εὐχαριστησιν καὶ εὐγνωμοσύνην αὐτοῦ ἐπὶ τῇ

λίαν φιλαδέλφῳ ταύτῃ τῆς Α. Θ. Π. διαθέσει, ἀπήντησεν, ὅτι δύο διακεκριμένους προμάχους τῆς ὀρθοδοξίας ἀναγνωρίζει ἡ καθόλου τοῦ Χριστοῦ Ἐκκλησία· καὶ ἂν ἐστερήθη τοῦ ἑνός, ἀγαλλιᾶται ἔχουσα ἐν τοῖς κόλποις αὐτῆς τὸν ἕτερον, ἐφάμιλλον τῇ ἀρετῇ καὶ συνέσει, τὸν Οἰκ. Πατριάρχην κ. Γρηγόριον.

Ἐν τῇ ἑπετείῳ δὲ, κατὰ τὴν ἑορτὴν τοῦ ἁγ. Ἀνδρέου, ὑπὲρ τῶν Σέρβων Πατριαρχικὴ λειτουργία, συλλειτουργούντων 13 Ἀρχιερέων, Συνοδικῶν τε καὶ μὴ ὄντων τῶν ΣΣ. ἁγ. Κυζίκου, Δέρκων, Δράμας, Βιδύνης, Γάνου καὶ Χώρας, Χίου, Βοδενῶν καὶ Κορυτσᾶς (ἐκ τῶν Συνοδικῶν), καὶ τῶν ΣΣ. ἁγ. Φιλιππουπόλεως, Μεθώνης, Μεσημβρίας, Σωζουαγαθοπόλεως καὶ Νυσσάδος, ἡ Α. Π. ἐμνημόνευσε μετὰ βαθείας συγκινήσεως τοῦ ὀνόματος τοῦ ἀοιδίμου Μ. Μόσχας Φιλαρέτου, παρόντος καὶ τοῦ ἐπιτετραμμένου τὰ τῆς Σερβικῆς Ἡγεμονίας μετὰ τῆς ὑπαλληλίας αὐτοῦ.

Διάδοχος τοῦ ἀποβιώσαντος Μόσχας διωρίσθη ὁ Ἀρχιεπίσκοπος Καμτσάσκας κ. Ἰννοκέντιος.

Ἡ δὲ Ἱ. Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος διέταξε τὴν ἐν τοῖς ἱεροῖς Διπτύχοις ἐγγραφὴν τοῦ ὀνόματος τοῦ πρὸς Κύριον ἐκδημήσαντος Μητροπολίτου Μόσχας Φιλαρέτου διὰ τῆς ἑξῆς ἐγκυκλίου.

Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Πρὸς τοὺς κατὰ τὴν ἐπικράτειαν παναγιωτάτους μητροπολίτας, ἀρχιεπισκόπους καὶ ἐπισκόπους.

Λαβοῦσα ἐπιστολὴν τῆς ἁγιωτάτης διοικούσης Συνόδου πάσης Ῥωσσίας, δι' ἧς ἀγγέλλεται αὐτῇ ὅτι ἐξεδήμησε πρὸς Κύριον ὁ τῆς ἐν Μόσχᾳ ἁγιωτάτης μητροπόλεως Μητροπολίτης κ. Φιλάρετος τὴν ι0'. νοεμβρίου τοῦ αωξζ'. ἔτους, ἐγκαταλιπὼν λύπην ἀμύθητον εἰς ἅπαν τὸ χριστεπώνυμον πλήρωμα τῆς Ῥωσσικῆς Ἐκκλησίας, συμμεριζομένη τὴν λύπην τῆς ἀδελφῆς ὀρθοδόξου Ἐκκλησίας τοῦ θεοφρουρήτου Κράτους πασῶν τῶν Ῥωσσιῶν, ἐπὶ τῇ στερήσει τοιούτου σοφοῦ καὶ γενναίου προμάχου οὐχὶ μόνον τῆς ἐν Ῥωσσίᾳ ὀρθοδόξου Ἐκκλησίας, ἀλλ' ἁπάσης τῆς ὀρθοδοξίας, καὶ ἐκτιμῶσα τοὺς παντοειδεῖς ὑπὲρ τῆς ὀρθοδοξίας ἀγῶνας καὶ τὰς πολυειδεῖς ποιμαντορικὰς ἀρετὰς τοῦ ἐν Κυρίῳ ἀναπαυθέντος Ῥώσσου πρωθιεράρχου, μετὰ βαθυτάτης ταπεινώσεως ἔκλινε γόνυ ἐνώπιον τῶν ἀνεξερευνήτων βουλῶν τῆς θείας προνοίας, καὶ ὕψωσε, μετὰ συντετριμμένης καρδίας, χεῖρας ἐκτεινάσας

πρὸς τὸν ἀρχιποίμενα Κύριον, καθικετεύουσα αὐτὸν, ἵνα κατατάξῃ τὴν μακαρίαν ψυχὴν τοῦ πρὸς αὐτὸν ἐκδημήσαντος ἱεράρχου ἐν τῷ χορῷ τῶν δικαίων.

Ταῦτα γνωστοποιοῦσα ὑμῖν ἅπασα ἡ Σύνοδος, ἐντέλλεται ἡμῖν, ἵνα, ἐγγράψαντες τὸ ὄνομα τοῦ ἐκ τῆς προσκαίρου εἰς τὴν ἀπύνιον μεταστάντος ζωὴν προμνησθέντος ἱεράρχου ἐν τοῖς ἱεροῖς Διπτύχοις, μνημονεύητε αὐτοῦ ὑμεῖς τε καὶ ἅπας ὁ ἱερὸς Κλῆρος ἐν ἁπάσαις ταῖς θείαις Μυσταγωγίαις.

—

31. Ἐγκαθίδρυσις τοῦ νέου Σχολάρχου της Μ. τοῦ Γένους σχολῆς.

Συγκινητικωτάτη τελετὴ ἐγένετο τῇ δ'. δεκεμβρίου ἐν τῇ Μ. τοῦ Γένους σχολῇ. Ὁ Μ. Πρωτοσύγκελλος, πρώην σχολάρχης, κ. Εὐστ. Κλεόβουλος, ἐπισήμως παρέδωκε τὴν διεύθυνσιν τῆς ἐν λόγῳ σχολῆς εἰς τὸν ἀξιεπαίνω Ἐκκλησιαστικὴ προνοίᾳ διορισθέντα διάδοχον αὐτοῦ κ. Φ. Βρυέννιον τὸν Ἀρχιμανδρίτην, παρόντος τοῦ Σ. ἀγ. Δέρκων κ. Νεοφύτου, τῶν καθηγητῶν καὶ διδασκάλων, καὶ πάντων φοιτητῶν, ἐν τῇ αἰθούσῃ τῆς σχολῆς.

Καὶ προηγουμένως μὲν ὁ κ. Εὐστ. Κλεόβουλος ἀπήγγειλε λίαν συγκινητικὴν προσλαλιὰν, ἐν ᾗ, πρὸς πολλοῖς ἄλλοις, ἐξέφρασε τὴν καθ' ὅλον τὸ διάστημα τῆς σχολαρχίας αὐτοῦ εὐγενῆ καὶ φιλότιμον σύμπραξιν τῆς Σ. Ἐφορίας πρὸς πᾶν ὅ,τι ἀφορᾷ τὴν εὔκλειαν καὶ προαγωγὴν τῆς μεγαλωνύμου ταύτης σχολῆς τὴν ἀδελφικὴν καὶ μοναδικὴν, οὕτως εἰπεῖν, σύμπνοιαν μετὰ τῶν καθηγητῶν καὶ διδασκάλων, καὶ τὴν ἀφοσίωσιν καὶ εὐπείθειαν τῶν φοιτητῶν ἀνεξαιρέτως· καὶ ὅτι, ὑπείκων εἰς τὴν φωνὴν τοῦ πνευματικοῦ πατρὸς καὶ κυριάρχου τοῦ Οἰκ. Πατριάρχου κ. κ. Γρηγορίου, ἀνέλαβε τὰ καθήκοντα τῆς ἀνατεθείσης αὐτῷ θέσεως τῆς Μ. Πρωτοσυγκελλίας κτλ.

Πρὸς ταῦτα, ὡσαύτως ἀπήντησε διὰ βραχέων τὰ εἰκότα ὁ Σ. ἀγ. Δέρκων, ὡς πρόεδρος τῆς Ἐφορίας τῆς Μ. τοῦ Γένους σχολῆς. Ἐλαβὼν τὸν λόγον ὁ ἀρχαιότερος τῶν καθηγητῶν κ. Ἰ. Φιλαλήθης ἀγέγνωτα προσφώνησιν λίαν συγκινητικὴν, ἣν διεδέξατο (μετὰ τὴν ἐκφρασθεῖσαν εὐχαριστηρίαν παρὰ τοῦ κ. Κλεοβούλου) ἡ τοῦ κ. Βρυεννίου προσλαλιά, ἐν ᾗ ὑπέδειξεν ὁ νέος Σχολάρχης μετὰ τῆς διακρινούσης αὐτὸν εὐγλωττίας, ὅτι μετὰ λύπης ἀπεσπάσθη τῆς Θεολογικῆς σχολῆς, ἐν ᾗ ἀπὸ τοσούτων ἤδη ἐτῶν εἰργάζετο φιλοπόνως καὶ ἀνενδότως, καὶ ὅτι, πειθόμενος τῇ ἐπιμόνῳ κελεύσει τοῦ γεραροῦ Πατριάρχου, ἀνεδέξατο τὴν προορισθεῖσαν αὐτῷ ταύτην διακονίαν· καὶ ὅτι, ἐπερειδόμενος εἰς τὴν αὐτὴν ὑποστήριξιν τῆς Σ. Ἐφορίας, εἰς τὴν αὐτὴν ἀδελφικὴν σύμπνοιαν καὶ ἀγάπην τῶν συναδέλφων καθηγητῶν καὶ διδασκάλων, εἰς τὴν αὐτὴν ἀφοσίωσιν καὶ εὐπείθειαν τῶν ἐπὶ ταύτῃ ἀείποτε ἐπαινουμένων φοιτητῶν τῆς σχολῆς ταύτης, εὐελπίζεται ὅτι, θείᾳ συνδρομῇ, οὐδεμία ἐπενεχθήσεται ὕφεσις εἰς τὴν ἐπὶ τὰ πρόσω τάσιν τοῦ ἀνωτάτου τούτου Ἐθνικοῦ ἐκπαιδευτηρίου κτλ.

Ἀκολούθως εἷς τῶν φοιτητῶν τῆς ἀνωτάτης τάξεως ἐκμέρους ἁπάντων· ὁ Σταμάτιος Δημητρίου, τὴν ἐξῆς ἀνέγνω εὐχαριστήριον προσφώνησιν.

Σοφὲ καὶ σεβασὲ ἡμῶν Καθηγητὰ καὶ Σχολάρχα!

Τί τὸ τελούμενον σήμερον; Τίς αὕτη ἡ κατανυκτικὴ φωνὴ ἐν τῷ τῶν Μουσῶν τούτῳ σεμνώματι ἐν ἀθυμίᾳ ἀντηχοῦσα; Φωνὴ ἀποχωρισμοῦ ὄντως. Φωνὴ, ἀγνὰ καὶ ἀθυμίας ἔμπλεα δηλοῦσα αἰσθήματα! Ἰδοὺ σήμερον σύμπας ὁ τῶν Καθηγητῶν αὐλλογος βαρυαλγῶν καὶ σκυθρωπάζων, Σὲ τὸν ἰθύντορα καὶ πηδαλιοῦχον τῆς γεραρᾶς ταύτης καὶ τηλεκλείτου σχολῆς περιφανῶν, προσφέρει βαθυσεβάστως δείγματα τρανὰ εὐγνωμοσύνης, δείγματα σεβασμοῦ ἐνδομύχου, ἀνθ' ὧν ἐπὶ τετραετίαν ἐμάχθολσας. Μαθηταὶ σήμερον, τὰ πνευματικά Σου καὶ πεθητὰ τέκνα, περίλυποι ἐν σιγῇ καὶ κατανύξει περιστάμεθα, τὴν βαθεῖαν ἡμῶν λύπην ἐντετυπωμένην φέροντες ἐπὶ τοῦ μετώπου.

Καὶ ὄντως βαθεῖα καταλαμβάνει πάντων ἡμῶν τὰς καρδίας ἀθυμία, ἀποχωριζομένων ἤδη Σοῦ τοῦ καλοῦ καγαθοῦ πατρὸς καὶ Σχολάρχου, συνάμα δὲ καὶ χαρὰ ἀνέκφραστος, ἀναλογιζομένων ὅτι ἡ θεία πρόνοια προήγαγέ Σε ἐπαξίως εἰς τὸ μέγα τῆς μεγάλης Πρωτοσυγκελλίας ἀξίωμα. Λυπούμεθα μὲν ἐκ βαθέων, σεβαστὲ Σχολάρχα, στερηθέντες ἀκαίρως Σοῦ τοῦ σοφοῦ καὶ ἀξίου διδάκτορος, οὗτινος αἱ ὑψηλαὶ καὶ σοφαὶ διδασκαλίαι, ὡς ἀπὸ πηγῆς πολυχεύμονος, γονίμως τὰ τῆς κοινωνίας ἡμᾶς καταρδεύουσαι βλαστήματα, ἔμελλον, οὐκ εἰς μακρὰν, τοὺς ὡρίμους καὶ ἀγλαοὺς καρποὺς ἀναδεῖξαι, πρὸς καύχημα καὶ ἀγλάϊσμα τῆς Ἐκκλησίας ἡμῶν καὶ τοῦ Ἔθνους. Χαίρομεν ὅμως ἐκ ψυχῆς

καὶ μυρίας ὅσας πρὸς τὴν μητέρα καὶ τροφὸν ἡμῶν μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν ἀπευθύνομεν εὐχαριστίας, προσαγαγοῦσαι δὲ εἰς τὴν ὑψηλὴν ταύτην περιωπήν, ὁπόθεν εὐέλπιδές ἐσμεν, ὅτι οὐδέποτε παύσῃ ῥίπτων καὶ ἐφ' ἡμῖν τοῖς πνευματικοῖς Σου τέκνοις βλέμμα ἱλαρὸν καὶ σωτήριον, βλέμμα, τὴν πρόοδον καὶ συντήρησιν τῆς, ὡς μὴ ὤφειλεν, ἀνάξια πασχούσης ταύτης σχολῆς ἀφορῶν. Εἴθε τοιοῦτοι ἄνδρες προάγοιντο εἰς τὰς ὑψίστας περιωπάς, ἔνθεν ἐκπηγάζει πάντος τοῦ ὀρθοδόξου πληρώματος ἡ ἀληθὴς σωτηρία!

Ἤδη, ἀγαπητὲ ἡμῖν Σχολάρχα, ἤδη, ἵνα καὶ δημοσίᾳ δηλώσωμεν τὰ τῆς καρδίας ἡμῶν αἰσθήματα παραστάντες, ἀναλογιζόμενοι ἡλίκους πρὸς μόρφωσιν ἡμῶν κατέβαλες πόνους, θερμῶς καθικετεύομεν, ὅπως, τὰς ὀλίγας ἡμῶν ταύτας λέξεις ὡς μέγα τεκμήριον εὐγνωμοσύνης ἀποδεχόμενος, περικαλύπτῃς ἡμᾶς ἀεὶ ποτε, ὡς ὄρνις τὰ ἑαυτῆς νοσσία, ὑπὸ τὴν ἐλαφρὰν σκιὰν τῶν πτερύγων Σου, ἀδιακόπως γιγνόμενος πατὴρ ἡμῶν καὶ προστάτης ἔνθερμος, προβλέπων καὶ ἐκτελῶν λόγῳ τε καὶ ἔργῳ πᾶν τὸ χρήσιμον καὶ ὠφέλιμον, καὶ πρὸς τὴν τελειοτέραν διανοητικὴν ἡμῶν ἀνάπτυξιν ἐπιτήδειον.

Ἀλλ' ἡ μεγαλώνυμος τοῦ Χριστοῦ Ἐκκλησία, ἡ νύκτωρ καὶ μεθ' ἡμέραν ὑπὲρ τῶν ἑαυτῆς πρυνοοῦσα τέκνων, ἡ σεβαστὴ Ἐφορία, ἡ τὴν ἐπὶ τὰ κρείττω προκοπὴν τῆς ὄντως μεγάλης ταύτης τοῦ Γένους σχολῆς ἐπιποθοῦσα καὶ θέλουσα, καὶ πᾶσα ἡ τῶν λογάδων τοῦ Ἔθνους ἡμῶν ὁμήγυρις, οὐκ εἰάσαν ἡμᾶς ὀρφανοὺς καὶ τεθλιμμένους. Ὁ θειότατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς Πατριάρχης, ὁ ἀγλαῶς τὸν θρόνον περικοσμῶν τοῦ Χρυσοστόμου, σὺν τῇ περὶ αὐτὸν ἁγίᾳ καὶ ἱερᾷ Συνόδῳ, ἐστήριξαν μὲ ἡμᾶς ἀκαίρως πολυμαθοῦς καὶ ἀξίου Σχολάρχου, προσαγαγόντες Σε ἔνθα εἶσι τάνάκτορα τῆς εὐσεβείας, ἐδωρήσαντο ὅμως ἄλλον ἡμῖν ἰθύντορα καὶ προστάτην, οὗτινος ἡ ἐγνωσμένη ἱκανότης, πολυμάθεια καὶ ἡ περὶ τὸ σχολαρχεῖν δραστηριότης οὐκ ἔλαθε τὸ ἀγρυπνον τῶν κηδεμόνων ἡμῶν ὄμμα· ἐξ οὗ εἰκάζεται, ὅτι τὸ πλῆρες πολυτίμου φορτίου τοῦτο πλοῖον ἐσαεὶ εὐσταθήσεται εἰς εὔδιον καὶ γαλήνιον λιμένα.

Ἀρωμεν ὄθεν τοὺς νοεροὺς ἡμῶν ὀφθαλμούς, ὦ συμμαθηταί, πρὸς τὸν Ὕψιστον, τὴν ἀένναον πηγὴν τῶν φώτων, ἐξ οὗ πᾶν δώρημα τέλειον καταπέμπεται, καὶ δεηθῶμεν αὐτοῦ, ὅπως τὴν μὲν θειοτάτην Αὐτοῦ Παναγιότητα ὑγιᾶ καὶ μακραίωνα διαση-

ἐπὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ θρόνου, ἄριστα μετὰ τῆς περὶ Αὐτὴν ἱερᾶς Συνόδου τὸ πηδάλιον τῆς Ἐκκλησίας διευθύνουσαν τῇ θείᾳ δυνάμει· τῇ δὲ σεβαστῇ τῆς σχολῆς Ἐφορίᾳ, τῇ πανταχόθεν ἀποκρουούσῃ πᾶν τὸ βλάψαι δυνάμενον τὴν τῶν μελλισσῶν ταύτην κυψέλην, δωρήσηται πᾶν ἀγαθὸν καὶ παθούμενον.

Περαίνοντες δ' ἤδη τὸν λόγον, καθῆκον ἡμῶν ἀναπόδραστον θεωροῦμεν, ὅπως, προσελθόντες, ἀσπασθῶμεν τὴν δεξιὰν τοῦ ὑπὲρ ἡμῶν μοχθήσαντος καὶ ἐπὶ τετραετίαν ἡμᾶς διδάξαντος, ἀποτίοντες ἴσως οὕτως ἐλάχιστόν τι μέρος τῶν ὀφειλομένων αὐτῷ διδάκτρων. Ἔχοντες δὲ κατὰ νοῦν τὰ φιλόστοργα καὶ σοφὰ αὐτοῦ λόγια: « Ἠγάπησα ὑμᾶς, τέκνα μου, καὶ οὐδέποτε παύσομαι ἐπισκεπτόμενος καὶ φροντίζων ὑπὲρ ὑμῶν », ἐσμὲν διὰ βίου εὐγνώμονες.

Τούτων δὲ γενομένων, καθηγηταί τε καὶ φοιτηταὶ ἠσπάσαντο περιπαθῶς τὴν δεξιὰν τοῦ νέου Σχολάρχου, ὑποδεχομένου τοὺς πάντας μετὰ βαθυτάτης ψυχικῆς συγκινήσεως. Ἀκολούθως οἱ φοιτηταὶ καὶ τῶν πέντε τάξεων, μεταβάντες εἰς τὰ Πατριαρχεῖα, ἠσπάσαντο τὴν δεξιὰν τοῦ Μ. Πρωτοσυγκέλλου μετ' ἀπείρου εὐγνωμοσύνης καὶ σεβασμοῦ.

Μετὰ ταῦτα, ὁ Σ. ἄγ. Δέρκων, ὡς πρόεδρος τῆς Ἐφορίας, παραλαβὼν τοὺς Σχολάρχας, πρώην καὶ νῦν, καὶ ἕνα τῶν ἀρχαιοτέρων Καθηγητῶν: τὸν κ. Γ. Φιλαλήθη, μετέβη εἰς τὰ Πατριαρχεῖα, ὅπως προσφέρωσιν Ἔφοροι, Σχολάρχαι καὶ Καθηγηταὶ τὰ σεβάσματα τῶν τῇ Α. Θ. Π., ἥτις, λίαν προσηνῶς ὑποδεξαμένη αὐτούς, ἀξιομνημονεύτους ἔδωκεν ὑποθήκας καὶ συμβουλάς, ἀφορώσας τὴν τῆς σχολῆς προαγωγὴν καὶ τὴν μετὰ κοινῆς καὶ ἀδελφικῆς συμπνοίας πνευματικὴν καλλιέργειαν τοῦ νοητοῦ τούτου ἀμπελῶνος.

—o—

53. Τὸ ὀφφίκιον τοῦ ὑπομνηματογράφου.

Τῇ ι. δεκεμβρίου, ἡμέρᾳ κυριακῇ, ἡ Α. Θ. Π. ὁ οἰκ. Πατριάρχης, προσκαλεσάμενος τὸν κ. Κωνσταντῖνον Ι. Φωτιάδην ἐφέντην, ἀντιπρόεδρον τοῦ Α. Ναυτικοῦ Ἐμπορικοῦ Συμβουλίου (νῦν σύμβουλον τῆς Γενικῆς Νομαρχίας Κρήτης), ἀνήγγειλεν αὐτῷ ὅτι, ἐκτιμῶν τὰς πρὸς τὴν Ἐκκλησίαν καὶ τὸ Ἔθνος πολυετεῖς αὐτοῦ ἐκδουλεύσεις, οἰκείᾳ Πατριαρχικῇ φιλοτιμίᾳ, ἀπονέμει αὐ-

τῷ τὸ ὀφφίκιον Ὑπομνηματογράφου τοῦ ἁγιωτάτου Πατριαρχικοῦ Ἀποστολικοῦ Θρόνου, δι' ὃ καὶ προχειρίζεται αὐτὸν εἰς τὸ ὀφφίκιον τοῦτο, ὅπερ καὶ ἐγένετο ἀμέσως ἰδίαις Πατριαρχικαῖς χερσί. Μετὰ δὲ τὴν προχείρισιν, ἀνεγνώσθη τὸ δίπλωμα, δι' οὗ ἡ Α. Παναγ. ἀποφαίνεται « ἵνα ὁ εἰρημένος κ. Κωνστ. Φωτιάδης ὑπάρχῃ ἀπὸ τοῦδε καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται Ὑπομνηματογράφος τοῦ ἁγιωτάτου Πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, καὶ ἔχῃ τὸ ὀφφίκιον τοῦτο ἐφ' ὅρου ζωῆς αὐτοῦ καὶ τὴν στάσιν καὶ ἕδραν, τὴν ἀναλογοῦσαν τῷ βαθμῷ αὐτοῦ κτλ.

Μετὰ τὴν ἀνάγνωσιν τοῦ διπλώματος, ὁ κ. Φωτιάδης εὐχαριστησε τὴν Α. Θ. Π. διὰ τῶν ἀκολούθων λέξεων.

«Παναγιώτατε Δέσποτα, ἁγ. καὶ Ἱερ. Σύνοδος.

Μετὰ καρδίας ἄκρως συγκεκινημένης ἐξ αἰσθήματος εὐγνωμοσύνης ἀπο δέχομαι τὸ παρὰ τῆς Ὑμ. Θ. Παναγιότητος ἀπονεμόμενόν μοι τοῦτο Ἐκκλησιαστικὸν ὀφφίκιον., καὶ χάριτας Αὐτῇ ὁμολογῶ, ἐπινευσάσῃ ἀντιμεῖψαι γενναίως καὶ δαψιλῶς τὰς πρὸς τὴν Ἐκκλησίαν καὶ τὸ Ἔθνος ἐλαχίστας ἐκδουλεύσεις ἐμοῦ τοῦ ταπεινοῦ τῆς Ἐκκλησίας οἰκέτου, δι' ὃ φικίου τοσοῦτον τιμίου καὶ ὑψηλοῦ· τοῦτο δέ, καίπερ ἐπὶ μικρὸν ἀπομακρυνθέντα με κατ' ἀνάγκην, προσηλώνει ἔτι μᾶλλον καὶ ἀφοσιοῖ τῇ Ν. τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ ἐνθερμον τελέστορα τῶν διαταγῶν Αὐτῆς καθίστησι· δι' ὃ καὶ εὑρήσει με Αὐτῇ ὡς ἀεί, εἰ καὶ ἐλάχιστον τῇ δυνάμει καὶ τῇ ἀξίᾳ, θερμὸν ὅμως προασπιστὴν τῶν δικαιωμάτων καὶ τῆς εὐκλείας αὐτῆς, καὶ πρόθυμον ἐνεργὸν παντὸς τοῦ πρὸς δόξαν αὐτῆς τείνοντος· εὐκλεινότερον δέ μοι τὸ ὀφφίκιον τοῦτο καθίσταται, ἀπονεμόμενόν μοι ἀπὸ τῶν χειρῶν τοῦ φαεινοῦ φωστῆρος τῆς καθόλου Ἐκκλησίας Γρηγορίου τοῦ ΣΤ΄., συνομολογούσης καὶ συνευδοκούσης ἁγίας καὶ Ἱερᾶς Συνόδου, ἐπαξίας τῷ παναγιωτάτῳ αὐτῆς προέδρῳ καὶ ἀρχηγῷ. Εὔδηλον δὲ ὁ τῶν ὑψηλῶν χαρίτων χορηγὸς καὶ δοτὴρ χαρίσαιτο τῇ ἁγίᾳ Αὐτοῦ Ἐκκλησίᾳ εἰρήνην καὶ εὐκλειαν, τῇ Ὑμετέρᾳ Παναγιότητι ὑγείαν, εὐρωστίαν καὶ ἀντίληψιν, τοῖς δὲ σεβασμίοις Ἱεράρχαις, τοῖς τὴν ἁγίαν καὶ Ἱερὰν Σύνοδον ἀπαρτίζουσιν, ἔτη πλεῖστα καὶ πανευδαίμονα, πρὸς δόξαν καὶ κλέος τῆς Ἐκκλησίας ».

—o—

54. Ἡ Μεγάλη Πρωτοσύγκελλία.

Τῇ ιϐ΄. δεκεμβρίου ὁ μέγας Πρωτοσύγκελλος ἐξέδωκε τὴν πρὸ πόδας Ἀπόδειξιν, ἀποτεινομένην πρὸς τοὺς προϊσταμένους τῶν ἱερῶν ἐκκλησιῶν τῆς Πρωτευούσης.

Εὐλαβέστατε καὶ ὁσιώτατε προϊστάμενε τῆς ἱερᾶς ἐκκλησίας . . . .

Ἐκκλησιαστικὴ καὶ πατρικὴ μέριμνα τῆς Α. Θ. Παναγιότητος, λυσιτελοῦς καὶ ἀπαραιτήτου θεωρηθείσης τῆς συντάξεως ὡς οἷόν τε λεπτομερῶν καταλόγων πάντων τῶν ἐν ταῖς ἱεραῖς ἐκκλησίαις τῆς Βασιλευούσης καὶ τῶν ἐν ἑκάστῃ ἐνορίᾳ παρεπιδημούντων τυχὸν ξένων καὶ διαθεσίμων Κληρικῶν, τοῦτο ἀναγγέλλοντες καὶ τῇ σῇ εὐλαβεστάτῃ Ὁσιότητι, ἀξιοῦμεν καὶ προτρεπόμεθ' αὐτὴν ἀδελφικῶς, ὅπως προντείνασα πέμψῃ ἡμῖν, ἕως τέλους τοῦ τρεχόντος μηνός, ἀκριβῆ σημείωσιν περὶ πάντων τῶν κατὰ τὴν εὐαγῆ ἐνορίαν, ἧς προΐσταται ἱερατικῶς, ἐφημερευόντων Κληρικῶν παντὸς βαθμοῦ, καθὼς καὶ περὶ τῶν διαθεσίμων καὶ ὁπωσδήποτε ἀργούντων, σημειοῦσα ἑνὸς ἑκάστου τὸ ὄνομα καὶ ἐπώνυμον, τὴν πατρίδα καὶ ἡλικίαν, τὸν χρόνον καὶ τὸ εἶδος τῆς ὑπηρεσίας, ὁπουδήποτε ἔτυχεν ὑπηρετήσας, τὴν ὑπακοότητα καὶ τὸν βαθμὸν τῆς παιδείας καὶ λογιότητος καὶ γλωσσογνωσίας, τὸ ἔγγαμον ἢ τὴν ἀγαμίαν, καὶ εἰ οἱ ἔγγαμοι συνοικοῦσιν ἢ οὔ ταῖς συμβίοις αὐτῶν, τὸν βίον καὶ τὴν καθ' ἡμέραν ἀναστροφὴν καὶ διαγωγήν, καὶ τὰς σωματικὰς ἢ τὰς πνευματικὰς ἀνάγκας καὶ ἐλλείψεις αὐτῶν· σὺν δὲ τούτοις, τόν τε ἀριθμὸν τῶν ὑπ' αὐτῆς ἐφημερευομένων ὀρθοδόξων οἴκων, καὶ ὅσα τε καὶ ὁποῖα ὑπάρχουσιν αὐτόθι ἐκπαιδευτήρια, καὶ τίνες καὶ ὁπηλίκοι οἱ ἐν αὐτοῖς παιδαγωγοὶ καὶ διδάσκαλοι. Ἀεὶ δὲ τοῦ λοιποῦ παρέξει ἡμῖν τὰς πληροφορίας ταύτας ἀνελλιπῶς δὶς τοῦ ἐνιαυτοῦ· ἤτοι τῇ ά. σεπτεμβρίου καὶ τῇ ά. μαρτίου. Ἐρ' ᾧ καὶ ἐπιστήσει δεόντως τὴν ἐμφρονα καὶ ἀγρυπνον προσοχὴν αὐτῆς, ἵνα ἐπιμελῶς καὶ μετὰ λόγου καὶ τῆς δυνατῆς ἑκάστοτε ἀκριβείας γίγνηται ἡ σημείωσις, περὶ ἧς αὐτὴ ἡ Ὁσιότης αὐτῆς ἔσται ὑπόλογος παρὰ τῷ Θεῷ καὶ τῇ Ἐκκλησίᾳ.

Εἴη δὲ θεόθεν ἡ ἱερατεία αὐτῆς τύπος τῶν πιστῶν καὶ τῶν συμπρεσβυτέρων, εἰς σωτηρίαν αὐτῆς τε καὶ παντὸς τοῦ ὑπ' αὐτὴν περιουσίου τῆς εὐσεβείας πληρώματος.

—o—

55. Ἀποβίωσις τοῦ Μητροπολίτου Σταυροπόλεως Κωνσταντίνου Τυπάλδου.

Τῇ κ΄. νοεμβρίου ἀπεβίωσεν ἐν Κεφαλληνίᾳ, ἐν ἡλικίᾳ οϐ΄. περίπου ἐτῶν, ὁ μητροπολίτης Σταυροπόλεως καὶ πρώην σχολάρχης τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς Κωνσταντῖνος Τυπάλδου.

Εὐγνώμων δὲ μαθητὴς καὶ τρόφιμος ἐκ τῶν τὰ μάλα σπουδαίων τῆς ἐν Χάλκῃ Θεολογικῆς σχολῆς : ὁ Μητροπολίτης Βο-

δενῶν κ. Νικόδημος, μνήμης χάριν καὶ ὀφειλομένης εὐγνωμοσύνης, φιλοτίμῳ αὐτοῦ δαπάνῃ διέτεξε τὴν φωτογράφησιν 500 περίπου εἰκονογραφιῶν τοῦ ἀοιδίμου Τυπάλδου, γενομένην ἐκ φωτογραφήματος τοῦ ᾠῳξά. ἐφ' ὧν ἐπεγράφησαν ἐπιγράμματα δοκίμου καὶ ἐκλεκτοῦ καλάμου τὰ ἑξῆς :

Σχῆμα μὲν ἀρχιθύτου Κωνσταντίνοιο Τυπάλδου,
Τὸν ῥα Κεφαλλήνων νῆσος ἔφυσε μέγαν.
Λύτὰρ ὁ θευλογίης περικύμονος ἔπλετο μύστης,
Ἔργῳ ἠδὲ λόγῳ πᾶσι διδασκομένοις.
Ἀλλὰ πόθῳ δέρκεσθε διδασκάλου ἱερὸν εἶδος
Πάντες ὅσοι πιστοί. Πᾶσι γὰρ ἦν ὄφελος.

Ἄλλην ἐκεῖνος ἀφῆκεν εἰκόνα τοῦ πνεύματος, ἥτις,
Ζῶσα ἐν τοῖς μαθηταῖς, ζῶντ' εἰκονίζει αὐτόν.
Ταύτης τὴν λάμψιν φθονήσας ὁ ἥλιος, γράφει ἐντέχνως
Μόνην αὐτοῦ τὴν σκιάν, ἧς νεκρὰ αὕτη εἰκών.

Ἕτερος δὲ ἐπίσης μαθητὴς καὶ τρόφιμος τῆς αὐτῆς σχολῆς, ὁ ἱεροδ. κ. Γρηγόριος Γῶγος ὁ Λέσβιος, ἐξέδωκεν ἐν τῇ «Κλειοῖ» ἐκ Στρασβούργου τῆς Γαλλίας, τὸ ἑξῆς Βιογραφικὸν σχεδίασμα.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΤΥΠΑΛΔΟΣ, ΜΗΤΡΟΠΟΛΙΤΗΣ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ.

Πλήρης ἡμερῶν εὐκλεῶν, πλήρης ἱερᾶς σοφίας καὶ χριστιανικῆς ἀρετῆς, ἀλλὰ καὶ δοκιμασιῶν τοῦ βίου πικρῶν καὶ δεινῶν, παρέθετο εἰς χεῖρας Κυρίου τὸ μακάριον αὐτοῦ πνεῦμα, καὶ οὕτω διὰ πολλῶν θλίψεων εἰσῆλθεν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ὁ Μητροπολίτης Σταυρουπόλεως Κωνσταντῖνος ὁ Τυπάλδος, ὁ κλεινὸς Ἱεράρχης τῆς ἁγίας καὶ ὀρθοδόξου ἡμῶν Ἐκκλησίας, ὁ σοφὸς σχολάρχης καὶ καθηγητὴς τῆς Θεολογίας καὶ τῆς φιλοσοφίας ἐν τῇ Θεολογικῇ σχολῇ τῆς ἁγίας Τριάδος, ὁ ἀπὸ πεντήκοντα ἤδη ἐτῶν ποιῶν καὶ διδάσκων τὰ ὑψηλὰ καὶ σωτήρια τοῦ χριστιανισμοῦ κηρύγματα καὶ θεσπέσια δόγματα, ὁ μετὰ τὸν Εὐγένιον, Θεοτόκην Μηνιάτην καὶ Οἰκονόμον ἐπιφανέστερος θεολόγος καὶ ῥήτωρ καὶ διδάσκαλος τῆς Ἑλληνικῆς τοῦ Χριστοῦ Ἐκκλησίας· ἀλλὰ καὶ τίς τῶν ἁπανταχοῦ Ἑλλήνων ἀγνοεῖ τὸν ἱερὸν τοῦτον ἄνδρα; ἢ τίς οὐκ ἤκουσεν, ἢ οὐκ ἀνέγνω τὸν πολὺν ἔπαινον καὶ τὰς διηνεκεῖς εὐφημίας τῶν λαμπρῶν αὐτοῦ ἀρετῶν;

Καὶ ἐν ᾧ ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, τῇ ἀγαθῇ καὶ ἐπαινετῇ βουλῇ Γρηγορίου τοῦ περιωνύμου οἰκουμενικοῦ Πατριάρχου, καὶ τῆς περὶ αὐτὸν ἁγίας Συνόδου, εἰς δεῖγμα εὐγνωμοσύνης καὶ σεβασμοῦ, ἐπιτελεῖ τὸ ἱερὸν μνημόσυνον τοῦ περικλεοῦς αὐτῆς Ἱεράρχου καὶ διδασκάλου, ἡ δὲ Θεολογικὴ σχολὴ εὐφρονοῦσα ψάλλει ὡσαύτως τὰ μνημόσυνα, καὶ ἐν ᾗ

γος ἐγκωμίων γεραίρει τὴν εὐσέβειαν, τὸν κατ' ἐπίγνωσιν ζῆλον, τὴν χριστιανικὴν αὐταπάρνησιν καὶ τὰς ἄλλας ἀρετὰς τοῦ πρώτου αὐτῆς καθηγητοῦ καὶ σχολάρχου, ὅστις ἐπὶ εἰκοσαετίαν ἐν κόπῳ καὶ μόχθῳ, ἐν συνέσει καὶ σοφίᾳ καὶ ἐν ὑπομονῇ πολλῇ ἐστερέωσε καὶ ἔσωσεν αὐτὴν ἐκ μυρίων κινδύνων, καὶ ὑπερβαλλόντως ἐτίμησε καὶ ἐδόξασεν, ἀπόκειται κάμοί, ἐνὶ τῶν ἐλαχίστων καὶ εὐγνωμόνων μαθητῶν τοῦ θρυλουμένου διδασκάλου, ὅπως ἐκτελέσω ἐξόδιον καὶ ἐπιτάφιον καθῆκον, καὶ προσκαλεσάμενος τῷ πνεύματι τοὺς ὀρφανοὺς καὶ τεθλιμμένους ἤδη συμμαθητάς μου, πλέξωμεν στέφανον ἐκ τῶν ῥόδων τῆς εὐλαβείας καὶ τῆς εὐγνωμοσύνης, καὶ στεφανώσωμεν τὴν ἱερὰν μνήμην τοῦ φιλοστόργου ἡμῶν πατρός, συνάμα δὲ καὶ διὰ τῶν μύρων καὶ τῶν ἀνθέων ἀγάπης ὑΐκῆς ῥάνωμεν εὐλαβῶς καὶ μετὰ δακρύων τὸν σεπτὸν τάφον τοῦ προσφιλεστάτου ἡμῶν διδασκάλου· ἀλλὰ καὶ ὁ εὐσεβὴς ἀναγνώστης, τιμῶν καὶ θαυμάζων σοφίαν καὶ ἀρετήν, παρέξεται ἡμῖν πάντως χεῖρα ἀρωγὸν πρὸς ἐκπλήρωσιν τοιούτου περισπουδάστου καθήκοντος, καὶ ἀναγνώσει εὐμενῶς καὶ μετὰ πνευματικῆς ὠφελείας ἀτελῆ μὲν, ἀλλ' εἰλικρινῆ βιογραφικὴν πληροφορίαν ἀνδρὸς ἐκλεκτοῦ καὶ πολυτίμου, κοσμήσαντος καὶ ὠφελήσαντος ἰσοβίως τὴν ἡμετέραν πατρίδα καὶ Ἐκκλησίαν.

Τὸ Λυξούριον τῆς εὐάνδρου Κεφαλληνίας ἦν ἡ τοῦ Τυπάλδου γενέθλιος γῆ, καὶ γονεῖς διακεκριμένοι ἐπὶ εὐσεβείᾳ καὶ χρηστότητι ἐγέννησαν καὶ ἀνέθρεψαν τὸν Σαμουὴλ τῆς χάριτος, τὸν ἐκ κοιλίας μητρὸς ἀφορισμένον εἰς τὴν διακονίαν τοῦ Εὐαγγελίου τῆς εἰρήνης, εἰς τὴν λειτουργίαν τοῦ Θεοῦ καὶ τὴν πνευματικὴν οἰκοδομὴν τοῦ πλησίον· διδαχθεὶς τὴν ἐγκύκλιον Ἑλληνικὴν παιδείαν ὁ φρονιμώτατος παῖς Κωνσταντῖνος, καὶ καλῶς μαθὼν «τὰ ἱερὰ γράμματα, τὰ δυνάμενα σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ», διέπρεπεν ὁ σεμνοπρεπὴς νεανίας ἐν τῷ μέσῳ τῆς συμπολίτιδος νεολαίας, καὶ διὰ τῆς συνετῆς αὐτοῦ ἀναστροφῆς ἐτιμᾶτο, ἐπαινούμενος ὑπὸ πάντων ὁ μέλλων τῆς Ἐκκλησίας πατὴρ καὶ διδάσκαλος.

Τὸ δὲ εἰκοστὸν τρίτον ἔτος τῆς ἡλικίας ἄγων, χειροτονεῖται ἱεροδιάκονος ὑπὸ τοῦ τότε Μητροπολίτου Κεφαλληνίας, καὶ λειτουργεῖ εὐαρέστως τῷ Θεῷ καὶ κηρύσσει εὐδοκίμως τὸν σωτήριον λόγον, οἰκοδομῶν καὶ εὐφραίνων τὸν λαὸν τοῦ Κυρίου διὰ τῆς διδαχῆς καὶ τοῦ παραδείγματος ὁ νεαρὸς, ἀλλ' ἀξιοσέβαστος τῆς Ἐκκλησίας λειτουργός.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἡ ἀδελφότης τῆς ἐν Βενετίᾳ Ἑλληνικῆς Ἐκκλησίας ζητεῖ ἱεροδιάκονον Ἑπτανήσιον (καθότι ἡ κλεινὴ Ἑπτάνησος ὑπερέχει καὶ κατὰ τοῦτο, μορφοῦσα καὶ παρέχουσα ἀείποτε τῇ Ἐκκλησίᾳ κληρικοὺς πεπαιδευμένους καὶ ἱεροπρεπεῖς), καὶ ὁ κλῆρος τῆς ἐκλογῆς καὶ τῆς προτιμήσεως ἔπεσεν ἐπὶ τὸν σεμνὸν καὶ λόγιον ἱεροδιάκονον Κωνσταντῖνον τὸν Τυπάλδον. Εἰς Βενετίαν τοίνυν ἀφικόμενος, καὶ τῇ Ἐκκλησίᾳ ἱεροπρεπῶς λειτουργῶν, ἀλλὰ καὶ ἱερουργῶν τὸ Εὐαγγέλιον τοῦ

Θεοῦ, ἀπουδάζει ταύτοχρόνως καὶ ἐκμανθάνει τὴν Λατινικὴν, τὴν Γαλλικὴν καὶ τὴν Ἰταλικὴν παιδείαν καὶ γλῶσσαν, ἀκούει καθ' ὅλην ἑσπεραίαν τοὺς ἐν τῇ πόλει ταύτῃ περιβλέπτους καθηγητὰς τῆς τε θύραθεν καὶ ἱερᾶς σοφίας, καὶ οὕτω καθίσταται Ἐκκλησιαστικὸς λίαν εὐπαίδευτος, ὑπό τε τῶν ὁμογενῶν καὶ τῶν ξένων καθ' ὑπερβολὴν ἀγαπώμενος καὶ τιμώμενος. Ἀλλ' ἐπειδὴ « οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη », ὡς εἶπεν ὁ θεάνθρωπος, « τὸν δὲ λύχνον τιθέασιν ἐπὶ τὴν λυχνίαν, καὶ « λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ », προσκαλεῖται εἰς Κέρκυραν ὑπὸ τοῦ μεγάλου φιλέλληνος, τοῦ λόρδου Γῦλφορδ, καθηγητὴς τῆς Θεολογίας ἐν τῇ Ἰονίῳ Ἀκαδημίᾳ, ἔνθα ἐπὶ δέκα καὶ ὀκτὼ ἔτη ὡς ἄριστος θεολόγος ἐδίδαξε τοὺς ἱεροσπουδαστὰς τῆς Ἑπτανήσου, καὶ ὡς εὔγλωττος καὶ δεινὸς ἱεροκήρυξ, τὸν εὐγενῆ καὶ φιλόχριστον λαὸν τῆς Κερκύρας.

Ἀλλ' ἰδοὺ ἀποδημεῖ πρὸς Κύριον ὁ Μητροπολίτης Κεφαλληνίας καὶ σύμπας ὁ κλῆρος καὶ ὁ λαὸς τῆς ἐνδόξου ταύτης νήσου, μιᾷ ψήφῳ καὶ μιᾷ φωνῇ, ἀναγορεύουσι διάδοχον τὸν εὐφημούμενον θεολόγων καὶ σεβάσμιον ἱερομόναχον Κωνσταντῖνον τὸν Τυπάλδον. Τὰ κατὰ τὴν πάντων ταύτην ἐκλογήν, ἐν τύποις τότε δημοσιευθέντα, ἔσονται λαμπρὸν μνημεῖον τῆς ἀληθινῆς αὐτοῦ ἀξίας καὶ ἀρετῆς, ἅπερ καὶ συνίστημι τῷ φίλῳ ἀναγνώστῃ, ὡς λίαν ἀξιανάγνωστα. Ἀλλ' ἡ Βρεττανικὴ προστασία ἀκυροῖ τὴν ἐκλογὴν τοῦ σεφωτισμένου τούτου προμάχου τῶν δικαιωμάτων τῆς Ἐκκλησίας καὶ τῆς πατρίδος, καὶ μετὰ μικρὸν ἀποστέλλει ἐξόριστον εἰς παρακειμένην τινὰ ἔρημον νῆσον, ἐν ᾗ δεκαοκτὼ μῆνας, παντοίας κακουχίας καὶ δοκιμασίας μεγαθύμως ὑποστὰς ὑπὲρ τῆς ὀρθοδόξου Ἐκκλησίας, ὡς ἄλλος Ἀθανάσιος καὶ Χρυσόστομος, καὶ εἶται ἐπομένως ὑπὸ τῆς τὰ πάντα πανσόφως οἰκονομούσης θείας προνοίας εἰς ποιμαντορίαν ὑψηλοτέραν, καὶ ἀναγορεύεται, τῇ εὐδοκίᾳ τοῦ Χριστοῦ, διδάσκαλος τῶν ποιμένων τῆς Ἐκκλησίας καὶ ἀρχιερεὺς ἀρχιερέων. « Καὶ νῦν δεῦρο ἀποστελῶ σε », εἶπεν αὐτῷ τὸ Πνεῦμα τὸ ἅγιον, « καὶ δώσω σοι ἐντολὰς νόμον ζωῆς καὶ ἐπιστήμης, διδάξαι τὸν Ἰακὼβ διαθήκην, καὶ φωτίσαι τὸν Ἰσραήλ ».

Γερμανὸς ὁ φιλόμουσος καὶ ὄντως ἀοίδιμος οἰκουμενικὸς Πατριάρχης ἀνεγείρει, τῇ συνδρομῇ πρὸ πάντων τοῦ ἱεροῦ Κλήρου, τὴν ἐν τῇ νήσῳ Χάλκῃ περικαλλεστάτην Θεολογικὴν σχολὴν, καὶ εὐθέως πανταχόθεν ἀναζητεῖ τὸν ἐπιφανέστερον θεολόγον καὶ ἐπάξιον σχολάρχην τοῦ νέου τούτου ἱεροῦ καθιδρύματος· ἀλλ' ὡς τοιοῦτος παρὰ πάντων τῶν εἰδημόνων ὁμοφώνως προβάλλεται ὁ ἐκλεκτὸς τῆς προνοίας Κωνσταντῖνος ὁ Τυπάλδος, πρὸ διετίας ἤδη ἐν Κωνσταντινουπόλει διαμένων ἐν τελείᾳ ἀπομονώσει καὶ ἡσυχίᾳ ἀσκητικῇ.

Μετὰ συνεχεῖς προτροπὰς καὶ παρακλήσεις τοῦ ἀγαθοῦ ἐκείνου Πατριάρχου, τῆς ἱερᾶς Συνόδου καὶ πολλῶν λογίων καὶ ἐπιφανῶν ὁμογενῶν, ἀναδέχεται τὴν πολύπονον σχολαρχίαν καὶ τὴν διδασκαλίαν πάντων τῶν

κλάδων τῆς Θεολογίας καὶ τῆς Φιλοσοφίας, ἔχων ἕνα μόνον συνεργάτην ἱκανὸν καὶ ὁμόζηλον, ἐπὶ τριετίαν πολυκύμαντον, τὸν χρηστὸν καὶ θεοπαιδευμένον καθηγητὴν τῆς Ἑλληνικῆς καὶ Λατινικῆς φιλολογίας τὸν ἐκ Λέσβου Ἰωάννην τὸν Τάξιν, ἐν τῇ ἐμπορικῇ σχολῇ τῆς Χάλκης λίαν εὐδοκίμως τότε διδάσκοντα, καὶ κατ' αἴτησιν τῆς Ἐκκλησίας εἰς τὴν Θεολογικὴν σχολὴν μεταβάντα· ὃν ὡς ἀδελφὸν ἠγάπα καὶ ἐξόχως ἐτίμα διὰ παντὸς τοῦ βίου.

Ἀλλ' ἐνταῦθα γενόμενος, ἀπορῶ πόθεν ἄρξομαι καὶ ποῦ λήξω, ὀφείλων, ἵνα περιγράψω τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας, τὴν ἀποστολικὴν αὐταπάρνησιν καὶ τὴν χριστιανικὴν σοφίαν καὶ ἀρετὴν τῆς εἰκοσαέτους σχολαρχίας καὶ διδασκαλίας τοῦ θαυμασίου ἀνδρός· ἡ ἀγαθὴ καὶ ἐκ τοῦ καθήκοντος αὕτη προθεσίς μου οὐ δύναται ἄλλως ἐκπληρωθῆναι, εἰμὴ διὰ συγγραφῆς σπουδαίας καὶ ἐκτενοῦς, γνωστοποιούσης εἴς τε τοὺς συγχρόνους καὶ τοὺς μεταγενεστέρους τὴν τοῦ διδασκάλου παντοίαν ἀξίαν καὶ τὰ ἔξοχα πρωτερήματα, πρὸς ὑπογραμμὸν καὶ μίμησιν πάσης φιλοθέου καὶ φιλογενοῦς ψυχῆς καὶ καρδίας· ἐν τῷ παρόντι μόνην ἀμυδρά τινα ἔχνη τίθημι ἐπὶ τῆς μεγαλοπρεποῦς εἰκόνος τοῦ ὑψηλοῦ αὐτοῦ χαρακτῆρος, καὶ ἐπικαλοῦμαι τὴν εὐγενῆ συνδρομὴν τῶν πρεσβυτέρων καὶ ἱκανωτέρων συμμαθητῶν μου, ὅπως ἐγκαίρως καὶ δεόντως συμπληρωθῇ ἡ διδακτικὴ καὶ πολύτιμος βιογραφία τοῦ ἡμετέρου πατρὸς καὶ διδασκάλου.

Καὶ καθὼς λοιπὸν εὐκλεῶς καὶ καρποφόρως ἀείποτε διδάσκων ἐν τῇ Ἰονίῳ Ἀκαδημίᾳ παρέσχε τῇ Ἐκκλησίᾳ τῆς Ἑπτανήσου τοὺς μέχρι καὶ σήμερον ἐπ' ἀρετῇ καὶ παιδείᾳ διαπρέποντας λειτουργοὺς τοῦ Θεοῦ, οὕτω καὶ ἐν τῇ Χαλκίτιδι Θεολόγῳ σχολῇ σχολαρχῶν καὶ διδάσκων, καὶ πρὸς μυρία ὅσα ἐσωτερικά τε καὶ ἐξωτερικὰ προσκόμματα ἀσημέραι παλαίων, ἐμόρφωσε καὶ ἔδωκεν εἰς τὰς Πατριαρχικὰς Ἐκκλησίας τῆς Κων]πόλεως, τῆς Ἀλεξανδρείας, τῆς Ἀντιοχείας καὶ τῶν Ἱεροσολύμων Ἐκκλησιαστικοὺς ἀξιολόγους καὶ εὐπαιδεύτους, οἵτινες σήμερον κοσμοῦσι τὸν ὀρθόδοξον ἡμῶν Κλῆρον, καὶ ἤδη ὡς διδάσκαλοι καὶ ἱεροκήρυκες καὶ ἱεροὶ ποιμένες εὐδοκιμοῦσιν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ· ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφέλης, ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν ὑψίστου », ἀνέτειλεν ἐν τῷ πνευματικῷ ὁρίζοντι τῆς ἡμετέρας πατρίδος ὁ τῆς ὁσίας μνήμης διδάσκαλος, καὶ τῇ θείᾳ πάντως συνάρσει κατηύγασε τὰς καρδίας καὶ τὰς διανοίας πολλῶν τοῦ Κυρίου λειτουργῶν· ὅθεν καὶ οἱ κατὰ καιροὺς ἀγιώτατοι Πατριάρχαι ἐσεβάσθησαν καὶ ἠγάπησαν τὸν ἱερὸν τῆς Ἐκκλησίας φωστῆρα, « τὸν ἠγαπημένον ὑπὸ Θεοῦ καὶ ἀνθρώπων, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις ». Καὶ ὁ μὲν Γερμανὸς ὁ κλεινὸς ἐχειροτόνησε, τὸ κατ' ἀρχὰς, ἀρχιμανδρίτην τοῦ οἰκουμενικοῦ θρόνου, ὁ δ' Ἄνθιμος ὁ ἀπὸ Ἐφέσου, μετὰ παρέλευσιν τετραετίας, ἐξ οἰκείας ἀγάπης καὶ βουλῆς, ἐμμακάρισεν αὐτὸν ἐν ρύκοσμίᾳ καὶ περιέζωσεν αὐτὸν στολὴν δόξης », τιμήσας τῷ τῆς ἀρχιερωσύνης ἀξιώματι, καὶ ἀναδείξας μητροπολίτην Σταυ-

ρουπόλεως ἐν δημοτελεῖ καὶ μεγαλοπρεπεῖ χειροθεσίᾳ, συλλειτουργούσης ἁπάσης τῆς ἁγίας Συνόδου τῶν ἀρχιερέων, οὐχ ἥκιστα τιμώντων καὶ περὶ πλείστου ποιουμένων τὴν ἀρετὴν τοῦ ἀνδρός· ὁ δὲ Πατριάρχης τῶν Ἱεροσολύμων Κύριλλος, περικλεὴς ἐν ἔργοις ἀγαθοῖς, βεβαίως ἐξ εὐγενοῦς καὶ ἀγαθῆς καρδίας ὁρμώμενος, ἐφιλοτιμήθη νὰ ὑπερβῇ καὶ ἐν τούτῳ τοὺς ἄλλους, ἐξιδιασμένως ἀγαπῶν καὶ περιθάλπων τὸν διδάσκαλον οὐ μόνον διὰ συνεχῶν καὶ ἀδελφικῶν ἐπισκέψεων πολλάκις ἐν τῷ μέσῳ δριμυτάτου χειμῶνος, ἀλλὰ καὶ διὰ φιλίας ἐγκαρδίου καὶ εἰλικρινοῦς, ἣν πάντες ἐξυμνοῦν καὶ ἐθαύμαζον, ἀνευρίσκοντες ἐν αὐτῇ τὴν ἁγίαν καὶ ἀείμνηστον ἐκείνην φιλίαν τῶν μεγαλωνύμων πατέρων τῆς Ἐκκλησίας, Βασιλείου τοῦ Μεγάλου καὶ Γρηγορίου τοῦ Θεολόγου· προσκαλεσάμενος δὲ τὸν περιλημμένον διδάσκαλον καὶ εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ, ὑπεδέξατο μεγαλοπρεπῶς καὶ συνοδεύσας εἰς πάντας τοὺς ἁγίους καὶ τοὺς μακρὰν ἁγίους τόπους, προέπεμψε, μετὰ τρίμηνον διατριβὴν, ἐν τιμῇ καὶ δόξῃ μεγάλῃ πολλοὶ τῶν ἀναγνωστῶν μου μετὰ βαθυτάτης συγκινήσεως ἀναμνησθήσονται τῆς ἱστορικῆς καὶ παραδειγματικῆς ταύτης ἀγάπης τοῦ φιλουμένου Πατριάρχου, πρὸς ὃν διὰ παντὸς τοῦ βίου ἐσόμεθα εὐγνώμονες οἱ τοῦ φιλουμένου διδασκάλου γνήσιοι φίλοι καὶ μαθηταί.

Ἀλλὰ καὶ βασιλικοῖς καὶ αὐτοκρατορικοῖς παρασήμοις ἐτιμήθη ἡ τοῦ ἀνδρὸς ὁμολογουμένη ἀξία, τοῦ μὲν βασιλέως τῶν Ἑλλήνων πέμψαντος αὐτῷ τὸν σταυρὸν τοῦ Σωτῆρος, τοῦ δὲ αὐτοκράτορος πασῶν τῶν Ρωσσιῶν τὸ χρυσοῦν τῆς Θεοτόκου ἐγκόλπιον.

Καὶ κοπιᾷ μὲν ἀνενδότως καὶ ἀγωνίζεται νυχθημερὸν ὑπὲρ τῆς δόξης τῆς Ἐκκλησίας, καὶ παρασκευάζει τοὺς ἀξίους αὐτῆς διακόνους ἐν βίῳ καὶ πολιτείᾳ ἀμέμπτῳ, ἐν διδασκαλίᾳ, ἐν προσευχαῖς, ἐν ἀγρυπνίαις καὶ ἐν δάκρυσι πολλάκις, ἀλλὰ τελευταῖον αἱ δυνάμεις τοῦ ἀσθενοῦς καὶ καταπεπονημένου σώματος ἐγκαταλείπουσι τὸ ἀείποτε πρόθυμον καὶ φιλέργον πνεῦμα τοῦ θείου Ἱεράρχου, οἱ δὲ πλήρεις ζωῆς καὶ χάριτος αὐτοῦ ὀφθαλμοὶ ἀπεσβέσθησαν, οἴμοι! ὀλοσχερῶς κατὰ τὸ διάστημα σκληρᾶς καὶ μοχθηρᾶς τριετίας, καθ' ἣν καὶ πικρὰ ποτήρια, προσενεχθέντα αὐτῷ ἐξ ἀνθρωπίνης ἀτελείας, κατέπιεν ἀγογγύστως ἐν ὑπομονῇ καὶ πραότητι. Καὶ διατελεῖ τοίνυν ζῶν εἰς σκότος φοβερὸν καὶ βαθύτατον ὁ τὸ φῶς τῶν γνώσεων τῷ πλησίον παρασχών, καὶ καταναλίσκεται, ὡς ἡ καιομένη λαμπὰς, ἡ τοὺς ἄλλους φωτίζουσα· τὸ δυστύχημα τοῦτο ἦν βεβαίως δυσφρητον, ἀλλ' ὁ ἀληθὴς χριστιανὸς καὶ βαθὺς φιλόσοφος ὑφίσταται μακροθύμως καὶ τὴν δεινὴν ταύτην δοκιμασίαν, εὐλογεῖ καὶ ἤδη τὸν Θεὸν τοῦ ἐλέους καὶ πάσης παρακλήσεως, ἀναγνωρίζει καὶ ὁμολογεῖ, « ὅτι ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ », καὶ δεινῶς ἐπιλέγων, « δόξα τῷ Θεῷ πάντων ἕνεκεν καὶ ἐπὶ τούτῳ », σχολαρχεῖ ἔτι καὶ διδάσκει ἐπὶ διετίαν ὁλόκληρον, τυφλὸς μὲν τὰς ὄψεις καὶ χειραγωγούμενος, ἀλλὰ βλέπων τὰ βάθη τοῦ πνεύματος καὶ χειραγωγῶν ἡ-

μᾶς ἐν τῇ ὁδῷ τῆς εἰρήνης, τῆς σωτηρίας καὶ τῆς πίστεως· διὸ ἔτι μᾶλλον θαυμάζεται καὶ σφόδρα τιμᾶται ὁ θεσπέσιος ἀνὴρ, καὶ παντοιοτρόπως περιθάλπεται καὶ ἐνισχύεται ὑπό τε τῆς Ἐκκλησίας καὶ τῶν χριστιανῶν, καὶ πρὸ πάντων μάλιστα ὑπὸ τῆς ἁγίας ἀγάπης τοῦ Πατριάρχου Ἱεροσολύμων, ἀγάπης, ἥτις ἐν τῇ περιστάσει ταύτῃ ἀπέδειξε τοὺς θείους καὶ λαμπροὺς ἐκείνους χαρακτῆρας, οὓς ἀπονέμει τῇ χριστιανικῇ ἀγάπῃ ὁ ἀπόστολος τῶν ἐθνῶν.

Ἀλλὰ πάντα τὰ ἀνθρώπινα τέλος ἔχει, καὶ ὅσῳ ἡ βραδὺν οἱ θνητοὶ διερχόμεθα τὸν καλαίπωρον βίον τῆς ἐνταῦθα παροικίας, « ἵνα κομίσηται ἕκαστος ἃ πέπραχε τοῦ αἰωνίου κριτοῦ » τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν.

Γέρων ἤδη ἑβδομηκοντούτης καὶ ἐξηντλημένος ὑπὸ τῶν πολυχρονίων καὶ διηνεκῶν κόπων, οὓς ἀνελάβετο ἀπὸ τῆς νεαρᾶς αὐτοῦ ἡλικίας ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἀλλὰ καὶ προαισθανόμενος, ὅτι ὁ « καιρὸς τῆς ἀναλύσεως αὐτοῦ ἐφέστηκεν », ἐγκαταλείπει ἐν Ὀλίγει βαθυτάτῃ τὴν περιλημμένην αὐτῷ Θεολογικὴν σχολὴν, ἀλλ' ἐγκαταλείπει αὐτὴν καὶ τὸν κόσμον συνάμα, « λαμπρὸς ἀπὸ τοῦ λόγου καὶ τῶν δογμάτων, λαμπρὸς ἀπὸ τοῦ βίου καὶ τῶν πραγμάτων », καὶ δοὺς τὸν τελευταῖον ἀσπασμὸν τῆς ἀγάπης καὶ τῆς εὐγνωμοσύνης τῇ μητρὶ Ἐκκλησίᾳ, τοῖς ἀγαπητοῖς μαθηταῖς καὶ καθηγηταῖς καὶ τοῖς πολυαρίθμοις φίλοις, ἀπέρχεται εἰς τὴν ἐνεγκαμένην Κεφαλληνίαν, ὅπως, ἀναψύξας καὶ ἀναπαυσάμενος ἐπὶ μικρὸν ἐν οἰκίᾳ πατρικῇ καὶ φιλτάτῃ, θύσῃ τῷ Θεῷ εὐχαριστήρια ἐν εἰρήνῃ, καὶ ἔξω σαρκὸς καὶ κόσμου γενόμενος, παρασκευασθῇ, ὡς ἐπόθει, πρὸς τὴν μεγάλην ἐκ τῶν ἐντεῦθεν ἀποδημίαν· « οὗ δὲ νῆφε ἐν πᾶσιν », ἔγραφε τότε πρός τινα τῶν ἠγαπημένων αὐτοῦ μαθητῶν, « κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον· ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε· τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα ». Λοιπὸν, μακάριε διδάσκαλε, ἀπήντησεν αὐτῷ ὁ μαθητὴς, ὃν ἠγάπα, « ἀπόκειταί σοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει σοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής ».

Τετραετίαν περίπου ἐπέζησε μετὰ τὴν εἰς τὸ πάτριον ἔδαφος ἔλευσιν αὐτοῦ, ἀλλὰ καὶ ταύτην διῆλθεν ἐν ἀκαταπαύστῳ ὀδύνῃ καὶ στεναγμῷ, νῦν μὲν δεινῶς κατατρυχόμενος ὑπὸ τῆς σωματικῆς ἀσθενείας, νῦν δὲ ἀλγῶν καὶ πενθῶν, καθὸ μὴ βλέπων τὰ φίλτατα πρόσωπα, μηδὲ ἀκούων τὴν ἐράσμιον φωνὴν τοῦ φίλου Πατριάρχου καὶ πάντων τῶν ἄχρι τέλους ἀγαπησάντων αὐτόν· ὅθεν συνεχῶς ἀνεφώνει τὸ τοῦ θείου Παύλου παραμυθούμενος, « ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου ». Ἀλλ' ὁ φιλάνθρωπος Κύριος ἐπήκουσε τῆς δεήσεως αὐτοῦ, καὶ ἔσωσε τὸν πιστὸν αὐτοῦ θεράποντα ἀπὸ τοῦ μαρτυρίου τῆς ἐνταῦθα βιοτῆς, καὶ δοκιμάσας αὐτὸν ὡς χρυσὸν ἐν χωνευτη-

ρίῳ, « γενόμενον πιστὸν ἄχρι θανάτου », προσεκαλέσατο εἰς τὴν βασιλείαν αὐτοῦ τὴν οὐράνιον, ὅπως δύσῃ αὐτῷ « τὸν ἀμαράντινον τῆς δόξης καὶ τῆς ζωῆς στέφανον· ἐν γὰρ τῇ ζωῇ αὐτοῦ ὑπέρλαμψεν οἶκον, καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσε τὸν ναόν ».

Οὐχ ἁμαρτήσεις, φίλε ἀναγνῶστα, ἐὰν τιμήσῃς τὴν μνήμην τοῦ ἀποχωμένου διδασκάλου, ὡς μνήμην ἁγίου καὶ μάρτυρος· ἐγένετο ἅγιος, τῷ ὄντι, ὅσον κατ' ἄνθρωπον, τὰς ἁγίας ἐντολὰς τοῦ Θεοῦ· ἐγένετο μάρτυς, διελθὼν ἐν βασάνοις τὸν χρόνον τῆς προσκαίρου ζωῆς, ἀπορνησάμενος ἑαυτὸν, ἀράμενος τὸν σταυρὸν τοῦ Χριστοῦ, καὶ ἀδιαλείπτως ὑπὲρ τῆς ἀληθείας καὶ τῆς δόξης αὐτοῦ μοχθῶν καὶ ἀγωνιζόμενος.

Ἀλλὰ τελευταῖον ἐξέστω μοι θεωρῆσαι νῦν διὰ βραχέων τὴν συγγραφικὴν, τὴν διδασκαλικὴν καὶ τὴν προσωπικὴν ἀξίαν τοῦ ἀνδρός.

Μετ' ἐπιστημονικῆς ἀκριβείας καὶ σαφηνείας συνέγραψε καὶ ἐδίδαξε τὴν δογματικὴν, τὴν ἠθικὴν καὶ ποιμαντικὴν Θεολογίαν, τὴν ἱερὰν ἑρμηνευτικὴν, τὸ κανονικὸν δίκαιον, τὴν λειτουργικὴν, τὴν ἱερὰν Κατήχησιν καὶ περιόδους τῆς Ἐκκλησιαστικῆς ἱστορίας· ἐκ δὲ τῶν κλάδων τῆς φιλοσοφίας, τὴν ψυχολογίαν, τὴν ἠθικὴν καὶ τὴν φυσικὴν Θεολογίαν· μετέφρασε κατὰ διαφόρους καιροὺς ἐκ τῆς Λατινικῆς, τῆς Γαλλικῆς καὶ τῆς Ἰταλικῆς γλώσσης ἀξιολόγους πραγματείας· ἐπὶ δὲ τούτοις συνέγραψε πονήματα ἠθικοδογματικὰ καὶ πολλοὺς Ἐκκλησιαστικοὺς λόγους, ὡς ἐξεφώνησεν ἐν Κεφαλληνίᾳ, ἐν Βενετίᾳ, ἐν Κερκύρᾳ, ἐν Κ]πόλει καὶ ἐν τῇ Θεολογικῇ τῆς Χάλκης σχολῇ, πανταχοῦ καὶ πάντοτε συγκινῶν μέχρι τῶν δακρύων τῆς μεταγοίας τὰ πρὸς ἀκρόασιν συρρέοντα πλήθη τῶν πιστῶν διὰ τῆς ῥητορικῆς αὐτοῦ δεινότητος καὶ τῆς ἀδιαβλήτου διαγωγῆς, ἥτις καθίστησι τὸν ἱεροκήρυκα λίαν εὔγλωττον καὶ πειστικόν. Καὶ οὐδεμία μὲν τῶν συγγραφῶν τούτων ἄχρι τοῦδε ἐδημοσιεύθη, ἕνεκα τῆς ἀπεριορίστου μετριοφροσύνης τοῦ ἱεροῦ συγγραφέως καὶ τῆς ἀκαταπαύστου αὐτοῦ διδασκαλίας· ἀλλ' ἐν καιρῷ εὐθέτῳ πλουτίσουσι καὶ αὗται τὴν ἡμετέραν Ἐκκλησιαστικὴν φιλολογίαν, τῇ φιλοτιμίᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν λογίων ἀδελφῶν καὶ τῶν μαθητῶν τοῦ ἐπιφανοῦς διδασκάλου.

Ὁ Τυπάλδος, ὡς διδάσκαλος ἰδίᾳ ἐξεταζόμενος, ἦν ὄντως ἔξοχος καὶ πολύτιμος· γλυκύτης καὶ εὔροια λόγου ἱεροπρεπὴς, εὐγλωττία μελιχία, ἦθος πατρικὸν καὶ συμπαθὲς, πλοῦτος ἰδεῶν καὶ ἐννοιῶν, ἀφθόνως ἀπὸ τῶν χειλέων αὐτοῦ ἀπορρέων, πίστις ἀκραιφνὴς καὶ ὀρθοδοξία εἰλικρινὴς κατέθελγον τοὺς ἑαυτοῦ μαθητὰς, καὶ ἐδίδασκον αὐτοὺς τὴν οὐρανόφρονα πίστιν καὶ ἠθικὴν τοῦ Χριστοῦ· μακάριοι ἐσμὲν, ἀληθῶς, οἱ τοῦ Τυπάλδου μαθηταὶ, ἐντρυφήσαντες καὶ οἰκοδομηθέντες ἐν τῇ χαριτοβρύτῳ καὶ ὑγιαινούσῃ αὐτοῦ διδασκαλίᾳ, ἀλλὰ καὶ ἐν τῇ πατρικῇ αὐτοῦ ἀγάπῃ, « καταντήσαντες εἰς τὴν ἐπίγνωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ »· ἐφ' ᾧ λίαν εὐλόγως πολλάκις ἡμῖν ἔλεγεν· « ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ

πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα· ὥστε στήκετε ἐν Κυρίῳ, ἀγαπητοί, χαρὰ καὶ στέφανός μου ».

Ἀλλ' ὅταν ἐτησίως, ἀρχομένου τοῦ Ἰουλίου μηνὸς, ἐν πανηγύρει δημοτελεῖ, ἐνώπιον τοῦ Οἰκουμ. Πατριάρχου, τῆς ἱερᾶς Συνόδου, τῶν ἀρχιερέων καὶ τῶν πανταχόθεν ἐν τῇ ἐκκλησίᾳ τῆς σχολῆς συνερχομένων χριστιανῶν ἀνηγόρευε τοὺς τελειοδιδάκτους τῶν μαθητῶν διδασκάλους τῆς ὀρθοδόξου Θεολογίας, καὶ προσεφώνει αὐτοῖς τὴν ὑστάτην διδασκαλίαν τῶν καθηκόντων καὶ τῆς ἐν Χριστῷ ἀναστροφῆς, τότε δὴ ἐλάλει εἰς τὴν καρδίαν, ὡς ἄλλος προφήτης ἢ ἀπόστολος, ὁ πεπνυμένος ἀρχιδιδάσκαλος· « μακάριοί ἐστε, ἐὰν ποιῆτε, ὅσα ἐντέλλομαι ὑμῖν σήμερον ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ ἡμῶν· ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ ὑμᾶς ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ », ἐπέλεγε τοῖς νεοστέπτοις διδασκάλοις τῆς Ἐκκλησίας, οἱ δὲ παρεστῶτες, δακρυρροοῦντες ὑπὸ χαρᾶς θρησκευτικῆς, ἐξήρχοντο τῆς τελετῆς, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν, οἷς ἤκουσαν καὶ εἶδον.

Τὴν δὲ κυριακὴν μετὰ τὰ Φῶτα, πάντων τῶν ἐν τῇ σχολῇ συνερχομένων ἐν τῇ ἱερᾷ ἐκκλησίᾳ, ἐτέλειτο ἐνιαυσίως ἄλλη διδακτικὴ καὶ μεγαλοπρεπὴς τελετὴ, καθ' ἣν ὁ διδάσκαλος ἀπέστελλεν εἰς τὸ κήρυγμα τοῦ θείου λόγου τοὺς τελειοδιδάκτους ἱεροσπουδαστὰς καὶ ἀπήγγελλεν αὐτοῖς τὸν παρακινητικὸν καὶ προτρεπτικὸν ἐκεῖνον λόγον, ἱερᾶς εὐγλωττίας καὶ διδασκαλίας ἀριστούργημα. Εὐλογία Κυρίου καὶ συντριβὴ καρδίας ἐξεπορεύετο τότε ἀπὸ τοῦ στόματος τοῦ θεηγόρου πατρός· ἐνθυμοῦμαι τοὺς ἐν τῇ περιστάσει ταύτῃ τελευταίους λόγους τοῦ διδασκάλου, καὶ παραινοῦμαι καὶ διδάσκομαι· « ὑπάγετε, ἀγαπητοὶ », ἔλεγε μετὰ δακρύων τοῖς ἀποστελλομένοις μαθηταῖς, « ποιεῖτε καὶ διδάσκετε τὰς ἐντολὰς τοῦ ἐνανθρωπήσαντος Θεοῦ τῶν πατέρων ἡμῶν· γίνεσθε ἐν παντὶ καιρῷ ἡ τῶν χριστιανῶν χαρὰ καὶ παραμυθία· θυμὸς καὶ ὀργὴ, θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κατεργαζομένου τὸ κακὸν, δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ἡμῶν, τὸν ἐν τοῖς οὐρανοῖς ».

Καὶ ἐγὼ μὲν, πάντα ταῦτα ἤδη ἀναμιμνησκόμενος, κατανύσσομαι τὴν καρδίαν καὶ κλαίω πικρῶς τὴν τοῦδιδασκάλου ἐπίζηλον τελευτὴν, ἀλλ' οὐχ ἧττον καὶ οἱ παρευρεθέντες ἐκ τῶν ἀναγνωστῶν μου εἰς τὰς ἁγίας καὶ χαρμοσύνους ἐκείνας ἡμέρας συγκινοῦνται, ὀλοψύχως καὶ εὐλογοῦσι τοῦ εὐλογημένου διδασκάλου τὴν μνήμην.

Ἀλλ' ἐπὶ τούτοις, πῶς δύναμαι παρελθεῖν ἐν σιγῇ τὰς καθ' ἑκάστην κυριακὴν κατηχητικὰς αὐτοῦ διδασκαλίας, μεθ' ἃς ἐξήγει καὶ ἀνέπτυσσε τὴν Εὐαγγελικὴν τῆς ἡμέρας περικοπὴν, καὶ οὕτω παρεσκεύαζε τοὺς μέλλοντας ποιμένας καὶ ἱεροκήρυκας τῆς Ἐκκλησίας τοῦ Χριστοῦ; τούτων δ' ὑπ' ἐκκλησίας γενομένων, ὁ γεραρὸς κατηχητὴς, ἐν τῷ μέσῳ τῶν μα-

θητῶν ἱστάμενος καὶ διδάσκων, περιεβάλλετο ὕψος καὶ μεγαλεῖον σεβασμιώτατον· εἶδον καὶ ἤκουσα ἐν Γαλλίᾳ καὶ Γερμανίᾳ πολλοὺς περιωνύμους καθηγητάς, ἀλλ' ὁ Τυπάλδος ὡς καθηγητὴς εἶχέ τι θῶρον ἀπὸ τοῦ Θεοῦ σπανιώτατον.

Ὧν δὲ φύσει ἀγαθὸς τὴν ψυχὴν καὶ εὐγενὴς τὴν καρδίαν, ἠγάπα, ἐτίμα καὶ ὑπεδέχετο τοὺς πάντας φιλοφρονέστατα. Καίτοι συνδιαλεγόμενος μετ' ἀγάπης, μετ' εὐμενείας καὶ χάριτος πολλῆς, ἐνέπνεεν ὅμως πάντοτε τοῖς περὶ αὐτὸν μυστηριώδη τινὰ σεβασμὸν, καὶ ἐπέβαλλεν, οὕτως εἰπεῖν, τὸ ὀφειλόμενον σέβας· ἤρκει μόνον νὰ φανῇ ἢ νὰ λαλήσῃ ὁ διδάσκαλος, καὶ τὰ πάντα ἐν τάξει καὶ ἐν σιγῇ· ἡ ἄψις τοῦ προσώπου αὐτοῦ εἶχέ τι μέγα καὶ ὑψηλόν· πᾶς ὁ εἰσερχόμενος ἐν τῷ πενιχρῷ αὐτοῦ σπουδαστηρίῳ κατεῖχετο ὑπὸ ἱερᾶς συστολῆς, προαισθανόμενος, ὅτι ἔμελλε νὰ συνδιαλεχθῇ μετ' ἀνδρὸς σοφοῦ καὶ ἱεροῦ. Ψυχρότης ἠθικὴ καὶ θλῖψις κατεῖχε τοὺς ἐκκλησιαζομένους, ὅτε ὁ διδάσκαλος ἀπῆν ἀπὸ τοῦ θείου ναοῦ, ὑπὸ ἀσθενείας κωλυόμενος, χοροστατῶν δὲ ἢ λειτουργῶν, ἐπλήρου, ὡς εἰπεῖν, τὴν Ἐκκλησίαν, καὶ διὰ τῆς ἱλαρᾶς αὐτοῦ παρουσίας ἐφαίδρυνε τὰς καρδίας τῶν πιστῶν· ἐν εὐλαβείᾳ δὲ καὶ κατανύξει ἐνθυμοῦμαι ἐνταῦθα τὰς θεοπρεπεῖς ἐκείνας προσευχὰς καὶ ἱερὰς ἀκολουθίας τῆς ἑβδομάδος μάλιστα τῶν ἁγίων τοῦ Σωτῆρος παθῶν καὶ τῶν ἄλλων τῆς Ἐκκλησίας ἑορτῶν, ἃς, ἀφ' ἑνὸς μέν, ἐλάμπρυνεν ὁ διδάσκαλος διὰ τῆς ἀρχιερατικῆς αὐτοῦ ἱερουργίας, ἀφ' ἑτέρου δὲ, κατηγλάιζεν ὁ θεῖος ζῆλος καὶ ἡ πανευφρόσυνος μελῳδία τοῦ Τανταλίδου, διακεκριμένου καὶ ἐν πολλοῖς χρησιμωτάτου καθηγητοῦ τῆς Ἑλληνικῆς φιλολογίας, ἐπὶ πολλὰ ἔτη ἐν τῇ σχολῇ μάλα ὠφελίμως διδάσκοντος.

Ἀπέφευγε τὴν δήξαν τῶν ἀνθρώπων, ἣν συνήθως ἐπιδιώκουσιν οἱ μικροὶ καὶ κοινοὶ ἄνθρωποι, καὶ ἀγαπῶν τὸ προγονικὸν παράγγελμα «λάθε βιώσας», οὐκ ἔστεργε τὰς ἐπιδείξεις, οὐδὲ τοὺς δημοσίους ἐπαίνους πολλάκις εἶδον αὐτὸν δυσανασχετοῦντα, ὅτε ἀνεγίνωσκεν ἐν ταῖς ἐφημερίσι τὰ περὶ αὐτοῦ ἐγκώμια, καὶ λυπούμενος μᾶλλον ἐπὶ τούτῳ ἢ χαίρων, ἔλεγε· τί μάτην με παρατηροῦσιν οἱ καλοὶ ἄνθρωποι; ὀφειλον ποιῆσαι πεποίηκα.

Ἠγάπα τοὺς ἑαυτοῦ μαθητὰς, ὡς πατὴρ φιλοστοργότατος, καὶ πάνυ σθένει εὐεργέτει καὶ περιέθαλπε· τοὺς εἰς ἀπορίαν, τυχὸν, περιελθόντας δακρυβρόων καὶ θρηνῶν προσῆλθον αὐτῷ, ὅπως ἀναγγείλω τὸν θάνατον Μελετίου τοῦ ἀειμνήστου Μητροπολίτου Ἰκονίου, ἐμοῦ θείου καὶ προστάτου· μὴ κλαίης, τέκνον μου, εἶπέ μοι ὁ πατὴρ τῶν ὀρφανῶν, σπογγίζων διὰ τῆς ἱερᾶς αὐτοῦ χειρὸς τὰ ἀθῶα καὶ θερμὰ δάκρυά μου· Χριστὸς ὁ Θεὸς προνοήσει καὶ περὶ σοῦ καὶ παραμυθήσεται τὴν ὀρφανίαν σου καὶ εὐθέως λαβών με τῆς χειρὸς, ὡδήγησε καὶ ἀφιέρωσε τῇ πατρικῇ προστασίᾳ Χρυσάνθου τοῦ γεραροῦ Μητροπολίτου Σμύρνης, ἐν τῇ Θεολογικῇ σχολῇ, κατ' ἀγαθὴν συγκυρίαν, τηνικαῦτα τυγχάνοντος· ᾧ περ διὰ παντὸς

Μάτην δὲ ἄρα καὶ ἐν τῇ Φιλίππου πόλει, ὅπῃ τῆς διχοστασίας τὸ δεινὸν ἐσφάδαζεν ἰταμώτερον διὰ τοὺς ἀπὸ τοῦ ᾳωμζ'. ἔτους παρεισδύντας ἐπήλυδας, διδασκάλους μὲν οὔ, δημαγέρτας δὲ καὶ φρεναπάτας τῶν ἐκεῖ Χριστιανῶν, ἡ μεγάλη Ἐκκλησία, ἐπεικῶς συγκαταβαίνουσα τῇ ἀσθενείᾳ τῶν φυλετικῇ μαχαίρᾳ διχοτομεῖν καὶ μετὰ βραχὺ παλυτομεῖν τε καὶ σπαράσσειν ὡρμημένων τὴν μίαν ποίμνην τοῦ Σωτῆρος, ἐντόνως ἐνετέλλετο καὶ παρηγύα τοῖς πολλῷ τῷ μέτρῳ πλεονάζουσι τῷ πλήθει Ἑλληνογενέσι καὶ

Ἑλληνοφώνοις Φιλιππουπολίταις, ἄκρους γιγνομένους τὴν φιλαδελφίαν, μηδαμῶς κωλύειν, ὥστε Σλαβιστὶ τὰς ἱερὰς ἀκολουθίας ψάλλεσθαι ἐν δυσὶν ἐξ ἅπαντος τῶν ὑπαρχόντων ἱερῶν ναῶν, καίπερ ὧν μὲν γογγυζόντων, ἔστιν ὧν δὲ ἰσχυρῶς ἀντιβοώντων, καὶ διαμαρτυρομένων τῶν ἀνέκαθεν ἐνοριτῶν καὶ νομίμων κτητόρων αὐτῶν Γραικῶν.

Μάτην ὁμοίως ποῦ μὲν Ἀρχιερεῖς Βουλγάρους ἡ Βουλγαρογλώσσους, χάριν τοῖς Βουλγάροις φέρουσα ἡ Ἐκκλησία καὶ τὴν κυρίαν τῆς ἀνταρτικῆς κινήσεως αὐτῶν ἐκκόπτουσα πρόφασιν, τοὺς μὲν εἶχεν ἤδη καταστησαμένη, τοὺς δ' ἤμελλέ τε καὶ προετίθετο ἐν παροικίαις χηρευούσαις· ποῦ δὲ καὶ μετατιθέναι τινὰς ἠναγκάζετο, ἐπεὶ σφοδροὺς ἑώρα τοὺς Βουλγάρους αὐτοῖς ἐγκειμένους, καὶ ἄλλα τε ἐγκλήματα ἐπισωρεύοντας καὶ, τὸ τῆς συνηθείας, τὴν τῆς Βουλγαρικῆς φυλῆς καταδρομὴν καὶ ἐπήρειαν.

Μάτην ὡσαύτως Ἐκκλησία καὶ Κυβέρνησις, πολλὰ πολλαχόθεν παρὰ τῶν ὀρθὰ φρονούντων καὶ εἰρηνικῶν Βουλγάρων γράμματα κοινὰ καὶ ἴδια κομιζόμεναι, τῶν μὲν εὐαρίθμων ταραχοποιῶν τὰς πολλὰς συκοφαντίας ἐξελέγχοντα, αὐτῶν δὲ διαστέλλοντα καὶ ἐξαιροῦντα τὸν ἀθῶον καὶ φιλήσυχον Βουλγαρικὸν λαόν, προσκάλουν μαθητὰς Βουλγάρους οἱ μὲν εἰς τὴν ἐν Χάλκῃ Θεολογικὴν σχολήν, ἡ δὲ εἰς τὴν Ἰατρικήν, ἀμφότεραι τὸ εἰς ἑκατέραν ἧκον, *προάγουσαι εἰς τελειότητα κοινωνικὴν καὶ ἠθικὴν τὸ ὑπήκοον*, οὔτε ταύτῃ μᾶλλον ἢ ἐκείνῃ τῇ φυλῇ προσέχουσαι.

ς'.) Μάτην, φαμέν, ταῦτα καὶ τὰ ἔτι πρότερον καὶ ἐς ὕστερον παρὰ τῆς πνευματικῆς αὐτῶν μητρὸς μεγάλης Ἐκκλησίας εὐεργετήματα καταβέβληται ἐπὶ τῷ δυσωπῆσαι τούτους δὴ τοὺς νεωτεριστάς, ὥστ' ἀνανήψαντας φυλάξαι ἑαυτοὺς καὶ τὸ οἰκεῖον ἔθνος καὶ τοὺς ὁμοδόξους ἀπὸ μειζόνων σάλων καὶ κοινῶν σκανδάλων, ὧν τὸ αἰώνιον οὐκὶ εὐθύνει τὸν αἴτιον. Μετὰ γὰρ τὸν Ἀνατολικὸν ἐκεῖνον πόλεμον, ἄρτι τῶν πραγμάτων κατασταντων, τῆς δ' ἐρ' ἡμᾶς φιλονόμου καὶ μεγαλοδώρου Κυβερνήσεως πανδήμως αὖθις ἀνακηρυξάσης τοὺς πολιτικοὺς θεσμοὺς τῆς ἀνεξιθρησκείας, οὓς διὰ τοῦ ὑψηλοῦ Χάττι-χουμαγιοὺν κεκύρωκε, ταύτης ἐπιλαβόμενοι τῆς προφάσεως, καὶ κομιδῇ ἐκτόπως ἀνεξιθρησκείαν ὑπειληφότες οὐ τὸ ἀνέχεσθαι ἀλλήλων, ὥσπερ οὖν εἰκὸς, τὰς ἑτεροδόξους Ἐκκλησίας καὶ θρησκείας, ἀλλὰ τὸ ἐν μιᾷ καὶ τῇ αὐτῇ θρησκείᾳ τε καὶ Ἐκκλησίᾳ ἐξεῖναι νηποινεὶ παρανομεῖν τὸν βουλόμενον

καὶ ἐν ἀλλοτρίῳ καὶ ἀθέσμῳ πνεύματι ἀνατρέπειν τὰ εὖ καὶ πατροπαραδότως κείμενα, καὶ τὸ προσωπεῖον λοιπὸν ἀφελόμενοι, καὶ ῥαγδαίως ἤδη καὶ ἀναφανδὸν ἐπιτιθέμενοι κατὰ τοῦ Κλήρου τοῦ Κυρίου, ἄλλως τε καὶ δι' ἐφημερίδων, ὧν ἔστιν ἃς γεζουϊτικὸς ὑπεφύσα καὶ συνέταττε καὶ νοῦς καὶ κάλαμος, ἐδείνωσαν τὸ κακὸν ἐν ἀπαιδεύτῳ κοινωνίᾳ εἰς τοῦσχατον. Ἡ δέ τοι δείνωσις αὕτη οὐ μόνον τὰς πολυειδεῖς καὶ πάσης τραγῳδίας καὶ θρήνων ἀνάπλεως κακώσεις τῶν Ἑλληνοφώνων Κληρικῶν καὶ διδασκάλων ἔστιν ὅπου τῶν ἐπαρχιῶν ἐπεσπάσατό τε καὶ παρεσκεύασεν, ἀλλὰ πρὸς τούτοις τὸν μὲν ἰούλιον τοῦ ϛωνς'. σωτηρίου ἔτους ἱκετηρίαν τῇ Αὐτοῦ Αὐτοκρατορικῇ Μεγαλειότητι, τῷ μεγαθύμῳ Σουλτάνῳ, ἐπ' ὀνόματι δῆθεν τοῦ Βουλγαρικοῦ λαοῦ προεκάλεσεν, ἐξαιτουμένου ταὐτὰ καὶ παραπλήσια τοῖς τῶν Γραικῶν καὶ Ἀρμενίων ὑπηκόων προνόμια καὶ δίκαια, οἵων καὶ αὐτοὶ (ἔφασαν) ἕως μεσούσης τῆς παρελληλυθυίας ἑκατονταετηρίδος ἀπολελαυκότες, τὰ πάντ' ἀφῄρηνται πρὸς τοῦ Γραικικοῦ Πατριαρχείου. Τοῦ δ' ἐπιόντος ἔτους, ἦρος ἄρτι διαγελῶντος, ἐπειδή περ τὸ Σουλτανικὸν διάγγελμα διαπεφοιτήκει πανταχόσε περὶ τῆς συγκροτήσεως τῆς διὰ τοῦ τρίτου Ἄρθρου τοῦ μνησθέντος Χάττι Χουμαγιοὺν προαγγελθείσης γενικωτέρως τῶν ἀνὰ τὸ Κράτος Χριστιανῶν συνελεύσεως ἐπὶ διευθετήσει τῶν κοινῶν πραγμάτων, τοῦτον νομίσαντες ἥκειν τὸν καιρὸν τοῦ ἀποκαταστῆσαι κατ' εὐχὴν τὴν κατ' αὐτοὺς *ἐθνικὴν καὶ ἀνεξάρτητον Ἱεραρχίαν*, καὶ ἐν τούτῳ φέροντες τὸ σύνθημα ἐπί τε γλώττης καὶ ἐπὶ καλάμου, πάλιν οὔτε λοιδορίας, οὔτε συκοφαντίας, οὔτε ἄλλου οὐδενὸς ἀπέσχοντο, ὁπόσα ἀποδείξειν ἔμελλε τὸν παρὰ τῆς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας Κλῆρον ἀπὸ μικροῦ ἕως μεγάλου, ἀπὸ Ἕλληνος ἕως Βουλγάρου, ἀπηνῆ δῆθεν διώκτην ὄντα τῆς Βουλγαρικῆς ἐθνότητος, καὶ ἀποκλειστικὸν καὶ πλεονέκτην καὶ, ὃ μάλιστα σατανικόν, τὴν ἀρχὴν ἀδιόρθωτον. Αἱ δὲ δὴ οὕτω χαλεπαὶ καὶ βαρύταται διαβολαὶ καὶ δυσφημίαι, οὐ πολὺ ἀφεστηκυῖαι τοῦ γελοίου καὶ ἀπιθάνου διὰ τὴν ὑπερβολήν, καὶ διὰ τοῦτο οὐκ εὐστοχήσασαι τοῦ σκοποῦ τῶν διαδιδόντων, εἰσώθησαν ὅμως εἰς τὰ οὐνιτικὰ τῆς προπαγάνδας δίκτυα δι' ἀντεκδίκησιν μᾶλλον καὶ κέρδος ὑλικὸν, ἢ κατ' ἐπίγνωσιν, ὀλίγην ἄγραν Βουλγαρικὴν, πρῶτα μὲν ἐν Πολυάνῃ, τῇ θεοσώστῳ Ἐπισκοπῇ τοῦ Θεσσαλονίκης, κατόπιν δὲ καὶ ἄλλοθι, ἀλλ' οὐκ εἰς τέλος· τὸ γὰρ ψεύδος βραχύβιον.

ζ'.) Ἐφ' ὅσον μὲν οὖν ἀφανέστερον καὶ ἰδιωτικώτερον ἐλέγε-

τό τε καὶ ἐγράφετο τὰ τοιαῦτα τῶν Βουλγαριστῶν αἰτήματά τε καὶ αἰτιάματα, τέως ἰδιωτικῶς ὁμοίως καὶ ἡ καθ' ἡμᾶς ἁγιωτάτη Ἐκκλησία διετέλει τὴν οἰκείαν τάξιν, τάξιν φύλακος ἀγρύπνου καὶ μητρὸς πολυμερίμνου, οὐδ' ἐπ' ἐλάχιστον καταλείπουσα, ἀλλὰ διά τ' ἐπιστολῶν Ἐκκλησιαστικῶν καὶ διὰ εἰδικῶν πραγματειῶν, καὶ σπανιώτερον, ἐν δημοσιογραφικαῖς μελέταις νουθετοῦσά τε καὶ παραινοῦσα, προλαμβάνουσα καὶ αἱρουσα, ὅσον ἐνῆν, τὰ τῆς διχοστασίας λοιπὸν σκάνδαλα, ὥστ' εἰρηνοποιῆσαι καὶ, εἰ θέμις λέγειν, μειλίξαι καὶ ἐξευγενίσαι παῖδας στρυφνούς, νεανικώτερον σφαδάζοντας κατὰ τῆς ἑαυτῶν μητρὸς καὶ ἀγνοοῦσι μὲν ἐοικότας, οἷον θαυμαστὸν τογχάνει τὸ ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ ζῆν τὰ τέκνα σύμπαντα ὑπὸ τὸ ζωογόνον θάλπος μητρικῆς στοργῆς καὶ τῆς ἰσότητος συναπολαύειν, ἰσότητος ἐχούσης τὸ κατ' ἀξίαν, κατὰ τὴν Θεολόγον φωνήν, οὐκ εἰδότας δέ τί καὶ προσαιτοῦνται ἴδιον ἐκ τῆς κοινῆς κληρονομίας τοῦ Κυρίου.

ἡ.) Ἀλλ' ἄρτι τοῦ ᾳωξ'. σωτηρίου ἔτους ἀνατειλάντος (τῇ ιέ. ἰανουαρίου), ὀγδοήκοντα Τυρναβιτῶν ἱκετηρίαν ἔγγραφον ὁ ἐν τῇ προρρηθείσῃ Συνελεύσει συνεδρεύων ἀντιπρόσωπος αὐτῶν ἐπιδεδωκὼς τῇ Ὑψηλῇ Πύλῃ, ἐπανελάμβανε τὰ ἐν αὐτῇ ἐγγράφως καὶ πρὸς τὴν Συνέλευσιν, ἐν ἓξ προτάσεσι διατυπώσας τά τε περὶ τῆς ἀμφοῖν τῶν τὰ πρώην ποτ' αὐτοκεφάλων δῆθεν γενομένων Ἀρχιεπισκοπῶν Ἀχριδῶν καὶ Τυρνόβου ὀφειλομένης ἀποκαταστάσεως, καὶ τὸ χειροτονεῖν Ἀρχιερεῖς Βουλγαρογενεῖς, πάντη πάντως ἰσοτίμους τοῖς ἐκ τῶν Γραικῶν ἐσομένοις, ἔτι μὴν τὴν τῆς οἰκείας γλώττης ἀδέσμευτον χρῆσιν, καὶ τελευταῖον τὴν τοῦ ἐπιλεγομένου κοινοῦ χρέους ἀκριβῆ ἐξέλεγξιν, ἵνα γνωσθέντες οἱ τὰ Πατριαρχεῖα παρὰ λόγον (ἔφη) χρεώσαντες, αὐτοὶ ἀναγκασθεῖεν ποιήσασθαι τὴν ἐξόφλησιν. Ἐπεὶ δὲ ἡ Συνέλευσις τὰ Τυρναβικὰ ταῦτ' αἰτήματα, καὶ περ ἕνεκά γε τοῦ προτείναντος ἀντιπροσώπου τύπον ἐπαρχιακῆς βουλήσεως φέρειν δοκοῦντα, οὔτε συνεζήτησεν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν προσήκατο, τοῦτο μὲν διὰ τὸ ἐποικοδομηθῆναι ἐπὶ αἰτιάσεων καὶ διϊσχυρισμῶν ἀναποδείκτων, τοῦτο δὲ, διὰ τὸ ξένα εἶναι τῆς τῆς Συνελεύσεως ἐντολῆς· ὁ μὲν ἀντιπρόσωπος, διαμαρτυρόμενος πρὸς τὸ Συνέδριον, ἀπεστη· οἱ δὲ ὁμοφρονοῦντες αὐτῷ, ὥσπερ ἀπέλπιδες καὶ ἀπόλυτοι γεγονότες, καὶ συστηματικῶς καὶ ἐπιθετικώτερον ἤδη τῆς κατὰ τῶν Πατριαρχείων ἀνταρσίας καὶ καταφορᾶς ἁψάμενοι, προῦβησαν, φεῦ, καὶ εἰς βεβήλωσιν καὶ ἐμπρησμὸν τῶν παναχράντων

Εὐαγγελίων καὶ τῶν λοιπῶν Ἐκκλησιαστικῶν βιβλίων καὶ ἱερῶν τινων εἰκόνων, ὡς ἐθεγγομένων Ἑλληνιστί, οὐ μὴν δ' ἀλλὰ καὶ εἰς διαρπαγὴν ὅλων Ἐπισκοπῶν καὶ Μητροπόλεων, ζητοῦντες τὰς ψυχὰς τῶν ἐν αὐταῖς ποιμένων τοῦ ἀπολέσαι αὐτάς.

θ'.) Ἀλλ' ἦν ἄρα τούτων τῶν τοῦ ὄχλου ἀχαλίνων σκιρτημάτων καὶ ἀσεβημάτων ἄλλα τόσῳ βαρύτερα καὶ χαλεπώτερα, ὅσῳ οἱ πράττοντες ἐδόκουν οὐκ ἀγνῶτες εἶναι τῶν κανόνων, τῶν δ' ἄλλων νουνεχέστεροι καὶ τόπον διδασκάλων εὐσεβείας, ὡς Ἐπίσκοποι, ἐπέχοντες. Τῇ τρίτῃ γὰρ ἱσταμένου τοῦ ἀπριλίου κατὰ τὸ αὐτὸ σωτήριον ἔτος, ἐν τῇ ἁγίᾳ καὶ κλητῇ καὶ κοσμοσωτηρίῳ ἡμέρᾳ τῆς τοῦ Ζωοδότου ἐκ νεκρῶν Ἀναστάσεως, ἐν ᾗ ἐχθροὶ καὶ φίλοι, ὡς ἐν ἐπινικίῳ χαρᾷ καὶ πανηγύρει, περιπτυσσόμενοι ἀλλήλους ἐν ἀδελφικῷ φιλήματι, πανηγυρίζομεν τὰ κατὰ τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας τρόπαια καὶ νικητήρια τῆς Ἐκκλησίας διὰ Ἰησοῦ Χριστοῦ, ἐν ταύτῃ τῇ λαμπρᾷ καὶ τῆς κοινῆς ἀγαλλιάσεως ἡμέρᾳ ὁ τοῦ προμνησθέντος Παλαταίου Βουλγαρικοῦ ναΐσκου (ἔστι δ' ὁ Παλατᾶς ἀγχιτέρμων τῇ τοῦ Φαναρίου συνοικίᾳ, ὧν ἀμφοῖν μέσος ἵδρυται ὁ Βουλγαρικὸς ναὸς) χωρεπίσκοπος Ἱλαρίων, ἀνιλέῳ διανοίᾳ καὶ παντόλμῳ γλώττῃ ἀπαλείψας ἐκ τῶν ἱερῶν διπτύχων τὸ μνημόσυνον τοῦ οἰκείου καὶ κανονικοῦ Πατριάρχου, οὐδὲν παθών αὐτός, οὐδενὸς ἐκείνων κατεγνωκότος, ἐμνημόνευσε καὶ τότε κάν τῷ ἐπιόντι, καθάπερ αὐτοκέφαλος καὶ αὐτοχειροτόνητός τις Ἀρχιεπίσκοπος, πάντων τῶν ἁπανταχοῦ Βουλγάρων, πάσης Ἐπισκοπῆς ὀρθοδόξων τ· τῇ δ' ὑστεραίᾳ καὶ ἑφεξῆς ἀδεῶς καὶ ἀσυστόλως ἐχοροστάτει δίχα τῆς κανονικῆς ἀδείας, καὶ λαρυγγισχιματικῷ ἠλάλαζε τὸ ἀποτρόπαιον τῆς πνευματικῆς καὶ ἠθικῆς ἐπαναστάσεως κήρυγμα. Ἐνικαῦτα μὲν οὖν, ὥσπερ ἦν εἰκός, μετὰ δευτέραν πρόσκλησιν ἐκὼν ἀέκων ἐπὶ Συνόδου παραστὰς (τῇ ιγ'. ἀπριλίου), οὐκ εἶχεν ἄλλως συσκιάσαι τὸ ἔγκλημα, ἢ τεχνηέντως ἐπισείων τῷ ἱερῷ τουτῳὶ Συνεδρίῳ τοῦ λαοῦ τὸ κέλευσμα, καὶ ἀπειλῶν μέν, ὡς ἀπαρέσκοι ἄρα τῷ Βουλγαρικῷ λαῷ ἡ Ἐκκλησιαστικὴ Ἀρχή, ὑποδεικνὺς δὲ οὕτω τὸ ἀμεταμέλητον. Καὶ ἀληθῶς τῇ ἀντικανονικῇ ἐμμένων βουλῇ, καὶ ἔκτοτε συμπαρασύρας τόν τε πρώην Δυρραχίου Ἀὐξέντιον καὶ κατόπιν τὸν Φιλιππουπόλεως Παΐσιον, ἅμφω οὐδενὸς δευτέρους τὴν ἀντικανονικὴν ἀπόνοιαν ἀναφανέντας, ἑδραῖον ἔπηξεν ἔν τε Κωνσταντινουπόλει παρὰ τὰς πύλας τοῦ Πατριαρχικοῦ ναοῦ, καὶ βραδύτερον ἔσθ' ὅπου τῶν Βουλγαρικῶν παροικιῶν, ἑδραῖον καὶ

ἀπεσχισμένον θυσιαστήριον, νέος Ναυάτος ἐν τῇ Νέᾳ Ῥώμῃ ἀρ-
χηγὸν ἑαυτὸν τῆς τῶν Βουλγάρων ἐθνικῆς Ἐκκλη-
σίας καὶ ὀνομάζων καὶ κηρύττων καὶ μνημονευόμενος. Τῶν δ' ἄλ-
λων δύο, (ἵνα μὴ τὸν κοιμηθέντα παράξωμεν), ὁ πρὸ ταῦ καθαιρε-
θῆναι Φιλιππουπόλεως Παΐσιος, ἐν τῇ Φιλιππουπόλει τέως
τὰς διατριβὰς ποιούμενος, οὔτε τὸ εἰωθὸς ψηφοδέλτιον εἰς Βασ-
λεύουσαν ἔπεμπε, τὸ ἐπὶ τῇ ἐκλογῇ τοῦ Πατριάρχου (φθὰς γὰρ
κατὰ μάϊον ὁ παναγιώτατος κὺρ Κύριλλος τὴν παραίτησιν ἐποιή-
σατο), οὔτε μὴν, λόγον ἀπαιτούμενος ὑπὸ τῆς Ἐκκλησίας περὶ ὧν
κατηγορεῖτο, διδόναι ἤθελεν, ἐπηρκεῖτο δὲ γράφων χρῆναι τὸν
ποιμένα τῇ οἰκείᾳ ποίμνῃ ἕπεσθαί τε καὶ συμ-
φρονεῖν· ἕως οὗ ἐξ ἀλογίας εἰς ἀλογίαν μεταπηδῶν, ἐξέκοψε
καὶ αὐτὸς τὸ κανονικὸν τοῦ Πατριάρχου μνημόσυνον, καὶ στάδιον
εὐρὺ ἀδιαλείπτων καὶ ποθ' αἱμοσταγῶν σπαραγμῶν ἀπέφηνεν ἑ-
δείλαιος τὴν ἑαυτοῦ πολυπληθῆ καὶ εὐανδροῦσαν Μητρόπολιν.

ί.) Ἐν τούτοις τοίνυν σαλευόντων τῶν Βουλγαρικῶν πραγμά-
των, καὶ πολλαχόθεν μὲν γραμμάτων ἱκετευτικῶν ἀφικνουμένων
δημέραι, καὶ ἀνακλαιομένων τὰ μυρίων θρήνων ἄξια ἐμφύλια δει-
νὰ, τὰ ἠθικὰ καὶ τὰ κανονικὰ, διὰ τοὺς παρεισφρήσαντας ὀλίγους
δημοκόπους καὶ λυμεῶνας, τοὺς νηποινεὶ κατορχουμένους τῶν ἀ-
γαν μακροθύμων τρόπων τῆς Ἐκκλησιαστικῆς Ἀρχῆς, τοῦ δὲ λοι-
ποῦ παντὸς Χριστεπωνύμου πληρώματος, ὅσον μὴ Βουλγαρικὸν
ἀσχάλλοντος καὶ ἀγανακτοῦντος ἐπὶ τῇ τηλικαύτῃ ἀνοχῇ τῆς Ἐ-
κλησίας, ὑφ' ἧς ἀνάστατος γενέσθαι κινδυνεύει ὅλος λαός· ταῦτα
ἐμβριθῶς σκεψάμενος καὶ τὸ μέγεθος ἀναμετρήσας τῆς εὐθύνης ὁ
παναγιώτατος προκάτοχος ἡμῶν κὺρ Ἰωακείμ, Σύνοδον ἐγκρ
συγκροτῆσαι ἱερὰν καὶ μεγάλην (τῇ δ'. φεβρουαρίου τοῦ ἀφξ
σωτηρίου ἔτους) ἀπό τε τῶν παναγιωτάτων Πατριαρχῶν πρωτ
Κωνσταντινουπόλεως, καὶ τῶν κατ' ἐκεῖνο καιροῦ συνεδημούντων
μακαριωτάτων, καὶ πάντων τῶν παρεπιδήμων Μητροπολιτῶν (ἐν
οἷς καὶ Βούλγαροι τὸ γένος, ὅ,τε Ῥόδου Ἰγνάτιος, καὶ Νυσσάδος
Δωρόθεος, καὶ ὁ Βράτσας Παΐσιος). Ἡ δὲ δὴ ἁγία καὶ μεγάλη
αὕτη Σύνοδος, εὐλαβῶς καὶ προσηκόντως ἀνασκεψαμένη πᾶσαν
τὴν ἀντικανονικὴν διαγωγὴν καὶ πολιτείαν τοῦ τε Μακαριουπό-
λεως Ἱλαρίωνος καὶ τοῦ πρώην Δυρράχιου Ἀὐξεντίου, καὶ τὸ ἐν
γνώσει καὶ ἐπιμόνως στασιαστικὸν καὶ παντάπασιν ἀγνωσμάχη-
τον τῶν Ἐπισκόπων τούτων ἐν συνοχῇ καρδίας κατιδοῦσα, καὶ μὴ
καὶ τὰς ἐνθένδε συνεπείας πάσας ἀνὰ μίαν ἐπὶ μακροῦ ἀναλογι-

σαμένη, τρὶς δὲ κατὰ τοὺς κανόνας μεταπεμψαμένη πρὸς ἀπολο-
γίαν, ὡς εἶδεν αὐτοὺς ἀπειθοῦντας καὶ σκληροτραχήλους, καθεῖλε
μὲν τοῦ Ἀρχιερατικοῦ βαθμοῦ ἐν ἁγίῳ Πνεύματι, ὡς οὐκ αὐτοὺς
μόνους τῶν ἱερῶν καθεστώτων κατεπανεστηκότας, καὶ τῶν Ἐκ-
κλησιαστικῶν θεσμῶν καὶ κανόνων καταφρονητὰς, ἀλλὰ τὸ ἐπ' αὐ-
τοῖς καὶ ὅλῳ τῷ Βουλγαρικῷ λαῷ κακοὺς κακίστης ἀνταρσίας καὶ
διαφθορᾶς εἰσηγητὰς καὶ κήρυκας καὶ λαοφθόρων σκανδάλων σπο-
ρεῖς γεγονότας· συγκαθελοῦσα δὲ διὰ παραπλησίους λόγους καὶ
τὸν συνένοχον Παΐσιον, καὶ τοὺς τρεῖς ἠνάγκαστο ἐπὶ χρόνον ὑπε-
ρορίσαι, ἅτε δὴ καὶ μετὰ τὴν καθαίρεσιν τῇ κακοτρόπῳ μὲν ἐπι-
μένοντας προαιρέσει, τοὺς δὲ σὺν αὐτοῖς ἀναταράττειν ἐκ παντὸς
τρόπου ἐπιχειροῦντας. Ἵνα δὲ ἡ Σύνοδος μὴ μόνον παιδεύουσα
φαίνοιτο τοὺς ἐν τῇ ἀταξίᾳ πρωταγωνιστήσαντας, ἀλλὰ καὶ τὴν
πρὸς τὸν Βουλγαρικὸν λαὸν ἐνδείξαιτ' αὖθις ἐξαίρετον καὶ ἀτε-
χνῶς μητρικὴν τῆς Ἐκκλησίας στοργὴν καὶ προσταθεστάτην κηδε-
μονίαν, τρεῖς μὲν πάλιν αὐτοῖς ἐδωρεῖτο Μητροπολίτας, Ἄνθιμον
καὶ Πανάρετον καὶ Ἰγνάτιον, τὸν μὲν εἰς τὴν τοῦ τοῦ Φιλίππου,
ἐκεῖνον δὲ εἰς τὴν Πρέσλαβαν, τὸν δὲ Ἰγνάτιον εἰς τὸ Κεστεντήλιον, καὶ τοὺς σύντρεις τῆς Βουλγαροσλαβικῆς φωνῆς ἐθάδας γνωρίζομένους. Σύναμα δὲ καὶ προνομίας καὶ φιλοτιμίας ἔστιν ἃς ταῖς
ἀνὰ τὴν Βουλγαρίαν παροικίαις εἰδικῶς ἐχαρίζετο, ἐν πεντεκαί-
δεκα μὲν ἄρθροις διατυπωσαμένη, τὴν δὲ εἰς τὸ διηνεκὲς ἰσχὺν
αὐτῶν καὶ ἀσφάλειαν διά τε ἐγκυκλίου (τῇ κέ. φεβρουαρίου ἐν τῷ
αὐτῷ ἔτει ἐκδεδομένης) καὶ διὰ Σουλτανικοῦ θεσπίσματος εἰσάπαξ κατοχυρωσαμένη (*).

(*) Ἐπισυνάπτομεν ἐνταῦθα τὰ σχετικὰ ἔγγραφα, καὶ μάλιστα τὰ ἐν τῇ παραγράφῳ ταύτῃ ἰδίᾳ ἀναγόμενα, κατὰ χρονολογικὴν τάξιν, πρὸς ἀκριβεστέραν σαφήνειαν τῶν ἐκτιθεμένων.

Α'.) ΠΑΤΡΙΑΡΧΙΚΗ ΑΠΟΔΕΙΞΙΣ.

ΙΩΑΚΕΙΜ ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κ]πόλεως νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἐντιμότατοι Κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ εὐλαβέστατοι Ἱερεῖς, καὶ ὁσιώτατοι Ἱερομόναχοι, οἱ ψάλλοντες ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ καὶ ὅλου τοῦ Καταστένου, καὶ λοιποὶ ἁπαξάπαντες εὐλογημένοι Χριστιανοί, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Ἕτερον ἀπὸ τὰς τοσαύτας ἀλλοκότους καὶ ἀπαραδειγματίστους σκηνὰς, τὰς ἀπό τινος καιροῦ ἐν ὄψει τοῦ ὀρθοδόξου Χριστιανικοῦ κόσμου,

ιά.) Αἱ μὲν οὖν πράξεις αὗται ταυτησὶ τῆς ἐκτάκτου Συνόδου

καὶ ἐνώπιον ὅλων τῶν ἐθνῶν διαδραματιζομένας ὑπό τινος μερίδος Χριστιανῶν ὀρθοδόξων Βουλγάρων, οἱ ὁποῖοι, παρασυρθέντες ἀπὸ εἰσηγήσεις δολίας καὶ καταχθονίους, σκοπὸν ἐχούσας τὴν ἀπόσπασιν αὐτῶν κυρίως ἀπὸ τῶν πατρῴων ἱερῶν δογμάτων αὐτῶν, καὶ δελεασθέντες δι' ἐλπίδων κενῶν κόμπου καὶ ἐπιδείξεων ἐθνικῆς δῆθεν φιλοτιμίας, εἰς ἐπίτευξιν προδῶν καὶ θρησκευτικῆς ἀνεξαρτησίας, ἐξετραχηλίσθησαν μέχρι τοῦ νῦν εἰς διάφορα ἀντιθρησκευτικὰ καὶ ἀντικανονικὰ κινήματα, εἶδε τελευταῖον μετ' ἐκπλήξεως καὶ λύπης καιρίας ἅπαν τὸ ὀρθόδοξον πλήρωμα τὸ τραγικὸν καὶ ὀλέθριον τέλος τῆς ἐπὶ ψυχικῇ ἀπωλείᾳ αὐτῶν ὑπὸ τοῦ ἀρχεκάκου Σατὰν διαπαιζομένης ταύτης σκηνῆς, καὶ ἀνάλογον τῶν ἀπ' ἀρχῆς μυριοτρόπων σατανικῶν μηχανημάτων. Οὐδένα γὰρ τῶν Χριστιανῶν λανθάνουσιν ὅσαι καταχρήσεις, καὶ ἀπὸ ἀτόπου εἰς ἄτοπον παρεκτροπαί, οὐ μόνον ἠθικῶν, ἀλλὰ καὶ θρησκευτικῶν καθηκόντων ἐτολμήθησαν ἐνταῦθά τε καὶ ἔν τισι τῶν ἔξω Βουλγαρικῶν ἐπαρχιῶν μέρεσι κατὰ τὰς διαφόρους φάσεις τῶν ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς ἐπὶ κοινῷ σκανδάλῳ τῶν ὀρθοδόξων Χριστιανῶν ἀναφυέντων, κρίμασιν οἷς οἶδε Κύριος, Βουλγαρικῶν τούτων κινημάτων· φαμὲν δὴ τὴν διάλυσιν καὶ κατάργησιν παντὸς ἱεροῦ χρήματος, συνδέοντος αὐτοὺς μετὰ τῶν ἄλλων ὀρθοδόξων λαῶν, καὶ ὁμοψύχων ἀδελφῶν αὐτῶν, τὴν ἐπέμβασιν καὶ ἰδιοποίησιν αὐτῶν ἐπὶ τῶν κοινῶν Χριστιανικῶν ἐκκλησιῶν, τὴν ἀποστροφὴν πρὸς τὴν Ἑλληνικὴν διάλεκτον μέχρι καὶ τῆς πυρπολήσεως τῶν κατ' αὐτὴν ἱερῶν βιβλίων, καὶ ὅσα ἄλλα τὸ τοῦ φατριασμοῦ μισάδελφον πνεῦμα ὑπηγόρευσεν εἰς τὴν ἄκριτον ὁρμὴν αὐτῶν, πρὸ πάντων δὲ, τὴν παρὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας αὐτοχειροτόνητον ἀνακήρυξιν αὐτοκεφάλου καὶ ἀνεξαρτήτου πνευματικῆς αὐτῶν ἀρχῆς, προσωποποιηθείσης αὐτεπαγγέλτως καὶ ἄνευ οὐδεμιᾶς οὐδαμόθεν κανονικῆς ἢ ἄλλης νομιμότητος εἰς τὰ ἄτοπα τῶν γνωστῶν τοῦ τε Ἐπισκόπου Μακαριουπόλεως Ἱλαρίωνος, καὶ τοῦ πρώην Δυρραχίου Αὐξεντίου, οὐχ ἧττον καταπατησάντων τὰς πρὸς Θεὸν ἐν τῇ χειροτονίᾳ αὐτῶν φρικτὰς ὑποσχέσεις τοῦ συμφρονεῖν κατὰ πάντα τοῖς ὑπὸ τῶν ἁγίων πατέρων ἡμῶν τεθεῖσιν ὅροις καὶ θεσμοῖς τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, ἀλλὰ καὶ ἐπὶ μυστηριασμῷ καὶ χλευασμῷ τῶν ἱερατευσάντων αὐτῇ ἐθίμων, τῇ ἰδίᾳ μόνον ἀλαζονίᾳ δουλευσάντων πρὸς πλάνην καὶ ἀπάτην τῶν ἁπλῶν καὶ ἀνιδέων τούτων ἰδιωτῶν Χριστιανῶν, ὑπὸ τῶν ὁποίων καὶ μόνον ἐγχειρισθέντες καὶ ἀξιωθέντες τὴν σαθρὰν καὶ ἀνεπαίσχυντον, δὸς δ' εἰπεῖν, καὶ γελοίαν ἀξίαν τοῦ ἀνεξαρτήτου, διατελοῦσιν ἀδόκητον θώτως ἐμμένοντες τοῖς σαθροῖς αὐτῶν φρονήμασι, καὶ ὑποσκελίζοντες εἰς τὴν κακοφροσύνην αὐτῶν καὶ τοὺς ἁπλουστέρους τῶν ὁμογενῶν αὐτῶν. Ἀλλὰ τὰς θλιβερὰς ταύτας ἀνδίας καὶ τοὺς ψυχολέθρους κρημνούς, εἰς τοὺς ὁποίους περιέπεσαν οἱ πολλοῦ οὗτου ἄξιοι τῆς συμμορίας ταύτης

οὐκ εἰς μακρὰν αἰσίως ἐκαρποφόρησαν· ἔνθεν μὲν γὰρ φραγμὸς

Χριστιανοί, διεδέχθη ἐσχάτως καὶ ἄλλο ὀλιβερώτερον τόλμημα, εἰς ὃ ὠθησάν τινας αἱ κακαὶ καὶ παράφρονες μέχρι τοῦδε προτροπαὶ καὶ εἰσηγήσεις τῶν εἰρημένων δύω, ὡς μὴ ὤφελεν, Λαοδικείων, ὥστε νὰ κρημνισθῶσιν εἰς τὸ τῆς κακοδοξίας βάραθρον, λελησμόνως καὶ ἀνεπαισθήτως ἀπαρνησάμενοι τὴν πίστιν τῶν πατέρων αὐτῶν καὶ ἀποσχισθέντες ἀπὸ τῆς ὁλομελείας τῶν ὀρθοδόξων Χριστιανῶν· καθότι, ὡς ἔγνωμεν, τινὲς ἐξ αὐτῶν, προχωροῦντες θερμότερον ὅπου ὁ πονηρὸς δαίμων πρυτέθετο ἀπ' ἀρχῆς ὡθῆσαι καὶ καταντῆσαι αὐτούς, ἐγκατεστάθησαν εἰς ἑτερόδοξόν τινα ναὸν τοῦ Γαλατᾶ, καὶ πρεσβεύσαντες τὴν ὑποταγὴν καὶ τὸ ἀνήμισυν τοῦ Δυτικοῦ πνευματικοῦ ἀρχηγοῦ, ἔστησαν ἐν αὐτῷ ἱερὰ σύμβολα καὶ σκεύη, καὶ ἐξετέλεσαν, φεῦ! θείαν λειτουργίαν, προεξαρχόντων αὐτῶν τριῶν Ἱερέων Βουλγάρων, τῶν μὲν δύω παραφρόνων καὶ μωρῶν, τοῦ δὲ, ἐπὶ ἀρνησιθρησκείᾳ καὶ κλοπαῖς καὶ ἄλλαις κακουργίαις ἐστιγματισμένου δραπέτου· ὁ φρικτὸς οὗτος ἐμπαιγμὸς τῆς ἁγίας καὶ ἀνωμύτου ἡμῶν πίστεως, καὶ ἡ ἀσυνείδητος βεβήλωσις τῶν ἱερωτέρων δὲν περιωρίσθη μέχρι τούτων τῶν ἀπονενοημένων κινημάτων, ἀλλὰ οἱ οὕτως ἀναξίως ἀποσκιρτήσαντες, εἴτε ἐν πεποιθήσει αὐτῶν, εἴτε θέλοντες ἀπατῆσαι καὶ ἄλλους τῶν ἁπλουστέρων, διατείνονται ὅτι οὐδεμίαν μετέβαλον παράβασιν ἢ παραλλαγὴν τοῦ θρησκεύματος αὐτῶν, ἀλλ' ὅτι ἐξακολουθοῦσιν ὑπάρχοντες μέλη τῆς ἁγίας ἡμῶν ὀρθοδόξου Ἐκκλησίας, ὡς ἐμμένοντες δῆθεν εἰς τὰ αὐτὰ δόγματα, καὶ τὰς αὐτὰς παραδόσεις καὶ διατυπώσεις αὐτῆς, μὴ συνιέντες οἱ ἄθλιοι ὅτι, ἀντιτασσόμενοι τοῖς κανονικοῖς αὐτῶν Ἐπισκόποις, οἵτινες διακρατοῦσι πιστῶς καὶ ἀπαραχαράκτως τὰ πατροπαράδοτα θεῖα δόγματα, τὰ ὑπὸ τῶν ἁγίων οἰκουμενικῶν Συνόδων θεσπισθέντα, καὶ ὑποτασσόμενοι εἰς Ἐπίσκοπον ἑτερόδοξον, ἄλλο σύμβολον πίστεως ὁμολογοῦντα, παρ' ὃ ἅγιοι πατέρες ἡμῶν ἐκανόνισαν, καὶ ἀνακηρύττοντα ἑαυτὸν ἀναμάρτητον εἰς τὰ τῆς πίστεως, καὶ αὐτῶν ἔτι τῶν Οἰκουμενικῶν Συνόδων ὑπέρτερον, καὶ τοῦτον ἀναγνωρίζοντες ὡς ὑπερτάτην καὶ ἀλάνθαστον κεφαλὴν τῆς Ἐκκλησίας, καθίστανται προφανῶς σχισματικοὶ καὶ ἀλλότριοι τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἧς κεφαλὴ, κατὰ τὸν Θεῖον Ἀπόστολον, ὁ Χριστὸς, καὶ ἐκτὸς τούτου, μὴ ἐννοοῦντες ὅτι τὸ παραδεχθῆναι αὐτοὺς ὡς προσηλύτους διὰ τοσούτων παραχωρήσεων, ἀντικειμένων τοῖς ἐκείνων δόγμασιν, ἀρκεσθῆναι δὲ μόνον τῇ τοῦ Δυτικοῦ Ἐπισκόπου ἀναγνωρίσει, ὑπάρχει προφανὴς τρόπος τοῦ κατὰ μικρὸν καὶ προϊόντος τοῦ χρόνου εἰσάξαι αὐτοῖς καὶ τὰς μεγάλας καινοτομίας τῶν οὐσιωδεστέρων ἱερῶν ἡμῶν δογμάτων, καθὼς πολλὰ τοιαῦτα πρόκεινται παραδείγματα. Ταῦτα πάντα μετὰ καιρίας λύπης βλέπουσα ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία, μολονότι, γινώσκουσα καλῶς τὰς ἀρχὰς καὶ αἰτίας τῆς τεταινομένης ἀποπλανήσεως τῶν εἰρημένων Βουλγάρων Χριστιανῶν, καὶ ὅσα ἄλλα

τις ἐπετέθειτο ταῖς αὐθαιρέτοις τῶν περὶ τὸν Ἰλαρίωνα ἐπηρείαις·

πρὸς τοῖς ἐκτεθεῖσι κατάκριτα μέσα ἐμεθοδεύθησαν πρὸς τὸν σκοπὸν τοῦτον, ἐν οἷς εἰσι καὶ αἱ ἐν ὅλῳ τῷ μεταξὺ χρόνῳ χαλκευόμεναι ὑποκινήσεις διὰ παρεξηγήσεως προσωπικῶν ἢ καιρικῶν ἐλλείψεων, ἐπὶ κατηγορίᾳ καὶ δυσηρμίᾳ τοῦ ἱεροῦ ἡμῶν Κλήρου, ἀλλ' ἐν πᾶσι τούτοις διαφόρως πνευματικαῖς χρησαμένη οἰκονομίαις ἐν ἀνοχῇ καὶ μακροθυμίᾳ, καὶ συγκαταβάσεις μετελθοῦσα ἐπὶ τοῦ παναγιωτάτου προκατόχου ἡμῶν καὶ παραχωρήσεις εἰρηνοποιὰς, διὰ τὰς ὁποίας καὶ παράπονα πικρὰ ὑπέφερεν ἄλλων ἐπίσης ὀρθοδόξων τέκνων αὐτῆς, μόνον ἵνα προλάβῃ καὶ ματαιώσῃ τὰ ὀλέθρια τῆς πλάνης καὶ ἀπάτης ἀποτελέσματα, περὶ ἧς πολλάκις καὶ διὰ πολλῶν παραινέσεων παρέστησε καὶ ἐξήγησεν, ὅτι παρ' αὐτῇ, ὡς κοινῇ ἁπάντων τῶν ὀρθοδόξων μητρὶ, οὔτε Γραικὸς ἢ Βούλγαρος, οὔτε Ἀσιανὸς ἢ Ἀλβανὸς, οὔτε ἄλλης οἱασδήποτε καταγωγῆς Χριστιανὸς θεωρεῖται ἔχων ἐξαίρεσίν τινα, ἢ διαφορὰν καὶ διάκρισιν, ἀλλ' ὡς πάντας γεννήσασα ἐν Χριστῷ διὰ τοῦ Εὐαγγελίου, καὶ τῷ γάλακτι τῆς εὐσεβείας καὶ τῶν πατρῴων δογμάτων ἐκθρέψασα καὶ διὰ τοῦ ἑνὸς Θείου Βαπτίσματος ἐν μιᾷ κολυμβήθρᾳ ἀναγεννήσασα, πάντας γνωρίζει ἀδελφοὺς ἐν Χριστῷ ὁμοψύχους, ἓν σῶμα πνευματικὸν ἀποτελοῦντας, καὶ πάντας ἀνεξαιρέτως ὡς τέκνα αὐτῆς ἀγαπητὰ ὁμοίως θάλπει εἰς τοὺς κόλπους αὐτῆς διὰ τῶν πνευματικῶν χαρίτων· μολονότι, φαμὲν, παντοιοτρόπως ἠγωνίσθη μέχρι τοῦ νῦν, ἵνα πληροφορήσῃ αὐτοὺς, ὅτι ἡ Ἐκκλησία τοῦ Θεοῦ οὐκ ἔστιν Ἐκκλησία τῶν Βουλγάρων, οὔτε τῶν Γραικῶν, οὔτε τῶν Ἀσιανῶν, οὔτε τῶν Ἀλβανῶν, οὔτε τῶν Ἀρμενίων (Χατζηρούμ), οὔτε τῶν Ἀράβων, ἀλλὰ καθολικὴ κοινὴ μήτηρ καὶ προστάτις ἁπάντων τῶν ἁπανταχοῦ γῆς εὑρισκομένων ὀρθοδόξων Χριστιανῶν, μολονοτοῦτο ἐν ἄκρᾳ αὐτῆς οὔσῃ εἰδὲ ματαιουμένας μέχρι τοῦ νῦν τὰς προσπαθείας αὐτῆς ἐναντίων τῶν δολίων εἰσηγήσεων καὶ τῆς σατανικῆς ἀπάτης, τῆς ὁποίας, τέλος πάντων, θῦμα ἐγένετο τὸ μέρος τοῦτο τῶν ὀλίγων ἀποσχισθέντων, ὡς εἴρηται, Χριστιανῶν. Ἀλλὰ τούτους μὲν τοὺς ἐθελοκάκως τοιαύτην κορωνίδα θεμένους τῶν ἀπονενοημένων κινημάτων καὶ τῆς ματαίας ἐθνικῆς αὐτῶν φιλοτιμίας, ἢ μᾶλλον εἰπεῖν, κακοβουλίας, ἤτοι τὴν ἀποσκίρτησιν ἀπὸ τῶν πατρῴων τῆς εὐσεβείας ὅρων, καὶ τὴν ἀνευλαβῆ καταφρόνησιν καὶ τοῦ ἐμπαιγμὸν τῶν ἱερωτέρων τῆς ἀμωμήτου ἡμῶν πίστεως ἐθίμων, ὡκτείρμεν καὶ ἠλεήσαμεν ὡς ἀξίους θρήνων, δι' ἣν ἔξουσι τιμωρὸν τῆς καταφρονήσεως αὐτῶν διαγωγῆς θείαν ἐκδίκησιν, ἣν μὴ ἀνανήψαντες τὸ θεῖον ἐξαιτήσωνται ἔλεος· " οὐκ ἀγαθὸν γάρ, φησὶν ὁ Κύριος ἡμῶν, τῷ ἀνθρώπῳ, δι' οὗ τὸ σκάνδαλον γίνεται· καλὸν ἦν, εἰ μὴ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος ». Προνοίᾳ δὲ κεκινημένοι Ἐκκλησιαστικῇ, ὅπως προφυλάξωμεν ἀπὸ τῆς ὀλεθρίου αὐτῶν λύμης τοὺς λοιποὺς ὀρθοδόξους Βουλγάρους τε καὶ ἄλλους εὐσεβεῖς Χριστιανοὺς, γράφοντες διὰ τῆς παρούσης Πατριαρχικῆς ἡμῶν ἀποδείξεως

ἔνθεν δ' οὕπω λωφῇ ἐπεγένετο τὴν ἐκ τῶν Βουλγάρων οὐνίαν,

συμβουλεύομεν πατρικῶς, καὶ παραινοῦμεν καὶ παραγγέλλομεν ἁπαξάπαντας, ὅπως, διατηροῦντες ἑαυτοὺς προσεκτικοὺς καὶ ἀνωτέρους τῆς σατανικῆς ταύτης ἀπάτης, πρῶτον ἀποκλείητε τὰ ὦτα ὑμῶν τῶν σοφιστικῶν ἐπινοιῶν αὐτῶν καὶ δολίων εἰσηγήσεων, δι' ὧν ἀπεύθυνσι παρασύραι καὶ ἄλλους εἰς τὴν ἰδίαν ἀπάτην κατὰ τὴν μυθευομένην ἀλιάπεκα, καὶ μηδεμίαν θρησκευτικὴν καὶ πνευματικὴν κοινωνίαν ἔχητε μετ' αὐτῶν, ἀλλὰ θεωρῆτε αὐτοὺς ὡς σχισματικοὺς καὶ ἀλλοτρίους τῆς τῶν ὀρθοδόξων ὁλομελείας καὶ λειποτάκτας καὶ ἀντάρτας τῆς καθολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἣν ἀγνωμόνως ἀπελάκτισαν, ὑποβαλόντες ἑαυτοὺς τοῖς Ἐκκλησιαστικοῖς ἐπιτιμίοις, ἅτινα ὑπὸ τῶν θείων κανόνων κατὰ τῶν τὰ τοιαῦτα τολμώντων ἐπάγονται· συγχρόνως δὲ ἀπαγορεύομεν πάντας τοὺς ὀρθοδόξους Χριστιανοὺς, καὶ ἄρδην ἀποτρέπομεν ἀπὸ τοῦ νὰ εἰσέρχωνται μὲ πανὸν προσευχῆς καὶ ἐκκλησιασμοῦ εἰς τὸν ῥηθέντα ἑτερόδοξον ναὸν ἐν Γαλατᾷ, ὅπου οἱ προσήλυτοι οὗτοι καὶ σχισματικοὶ συνέρχονται· διότι ἂς γνωρίσωσι καλῶς ὅτι ἁμαρτάνουσιν εἰς τὸν Θεὸν, καὶ ἐφέλκουσι κρίμα ἑαυτοῖς βαρύτατον, ὄχι μόνον διότι παρεβαίνουσιν ἅτι οὐχ ὑπάρχει διαφορὰ μεταξὺ τῶν ἁγίων τοῦ Θεοῦ ὀρθοδόξων Ἐκκλησιῶν καὶ τῆς συναγωγῆς τῶν κακοδρόνων τούτων σχισματικῶν, ἥτις οὐδεμίαν ἔχει καθιέρωσιν διὰ μαρτυρικῶν λειψάνων, καὶ ἱερῶν εὐχῶν καὶ τελετῶν τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, ἀλλὰ καὶ διότι παρὰ τοὺς ἱεροὺς κανόνας καὶ τὰς Ἀποστολικὰς ἐντολὰς, συμπροσεύχονται μετὰ σχισματικῶν, τοὺς ὁποίους οἱ θεῖοι πατέρες ἀποφαίνονται χείρονας καὶ τῶν αἱρετικῶν, ὡς σχίσαντας τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ τὴν ἑνότητα τῶν Χριστιανῶν διαιρέσαντας, τὸ ὁποῖον ἁμάρτημα εἶναι βαρύτερον καὶ αὐτῆς τῆς εἰδωλολατρείας, κατὰ τὸν θεῖον ἡμῶν πατέρα Διονύσιον τὸν ὁμολογητήν. Διὰ τοῦτο ὁ λγ. κανὼν τῆς ἐν Λαοδικείᾳ ἁγίας Συνόδου λέγει· « οὐ δεῖ αἱρετικοῖς ἢ σχισματικοῖς συνεύχεσθαι ». ὁ δὲ ξέ. ἱερὸς Ἀποστολικὸς κανὼν λέγει· « εἴτις, κληρικὸς ἢ λαϊκὸς, εἰσέλθοι εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καὶ καθαιρείσθω καὶ ἀφορίζέσθω ». ὥστε οὐδεμία ἀμφιβολία ὅτι, ὅσοι τῶν Χριστιανῶν εἰσέρχονται εἰς τὸν ναὸν αὐτὸν, ἀντὶ χάριτος καὶ εὐλογίας, ἐπισύρουσι κατὰ τῆς κεφαλῆς των τὰς ἀρὰς τῶν θείων Ἀποστόλων καὶ τῶν ἁγίων ἡμῶν πατέρων, καὶ ἡ προσευχὴ αὐτῶν ἀποβαίνει αὐτοῖς εἰς ἁμαρτίαν καὶ κόλασιν αἰώνιον· « ὁ γὰρ κοινωνῶν, φησὶ, τοῖς ἀκοινωνήτοις ἔστω καὶ αὐτὸς ἀκοινώνητος. » Ἀλλὰ καὶ οἱ ἐξ ἁπλῆς περιεργείας εἰσερχόμενοι οὐχ ἧττον ἁμαρτάνουσι καὶ αὐτοὶ, ὡς γινόμενοι θεαταὶ τῶν εἰς τὰ θεῖα καταχρήσεων, καὶ τῶν ἀνιέρων τελετῶν, δι' ὧν ἐμπαίζονται, ὡς εἰς θέατρον κοσμικὸν, ἀνίπτοις χερσὶ καὶ ψυχαῖς ἀμυήτοις, καὶ συνειδήσεσι πονηραῖς τελεπουργούμενα τὰ ἄῤῥητα καὶ φρικτὰ μυστήρια τῆς ἁγίας καὶ ἀμωμήτου ἡμῶν πίστεως. Ταῦτα, κατὰ χρέος ἡμῶν πατρι-

ὥσθ' οἵ γε πλείους τῶν ἀπάτῃ πτερνισθέντων, κἀκ τῶν κόλπων

κὸν, συμβουλεύομεν καὶ παραγγέλλομεν ἀπαξάπαντας τοὺς εὐσεβεῖς Χριστιανοὺς τὰ γνήσια ἡμῶν πνευματικὰ τέκνα, ἀπεκδεχόμενοι τὴν εἰλικρινῆ καὶ ἐγκάρδιον ὑμῶν ὑπακοὴν καὶ προθυμίαν πρὸς τὴν φιλόστοργον φωνὴν τῆς πνευματικῆς ταύτης μητρὸς ὑμῶν ἁγίας Ἐκκλησίας τοῦ Χριστοῦ, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν.

— φωξά, Ἰανουαρίου ά.

Β') ΚΑΘΑΙΡΕΣΙΣ ΙΛΑΡΙΩΝΟΣ ΚΑΙ ΑΥΞΕΝΤΙΟΥ.

ΙΩΑΚΕΙΜὁ ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Οἱ τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ Πατριαρχικῷ, Ἀποστολικῷ καὶ Οἰκουμενικῷ θρόνῳ ὑποκείμενοι ἱερώτατοι Μητροπολῖται, καὶ ὑπέρτιμοι, καὶ θεοφιλέστατοι Ἀρχιεπίσκοποί τε καὶ Ἐπίσκοποι, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοί, καὶ ἐντιμότατοι Κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας καὶ ἑκάστης ἐπαρχίας, καὶ εὐλαβέστατοι Ἱερεῖς, καὶ ὁσιώτατοι Ἱερομόναχοι, οἱ ψάλλοντες ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ, καὶ ὅλου τοῦ Καταστένου, καὶ ἀπανταχοῦ καὶ λοιποὶ εὐλογημένοι Χριστιανοὶ τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν Μετριότητος· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Τοὺς τῶν ἱερῶν καινῶν κατορχουμένους, καὶ τῶν Ἀποστολικῶν καὶ πατρικῶν ὅρων καὶ θεσμῶν ὑπερόπτας καὶ καταφρονητάς, τῶν τε πρὸς Θεὸν ἐπαγγελιῶν αὐτῶν παραβάτας ἀποδειχθέντας, καὶ τὴ ὑπερυψὲς τῆς Ἀρχιερωσύνης ἀξίωμα ἔρμαιον δυσσεβῶς ὑπολαμβάνοντας, καὶ τούτῳ ὀργάνῳ κακοβούλων ἔργων καὶ σκοπῶν κεχρημένους κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ, τούτους ἀπαραίτητον ὑπέχειν δεῖ τῆς μοχθηρίας καὶ ἀντορσίας τὴν δίκην· κλέπται γάρ εἰσιν οὗτοι καὶ λῃσταί, ὡς ὁ Κύριος ἡμῶν ἐν Εὐαγγελίοις φησί, καὶ ἄκαρπα δένδρα, μὴ ποιοῦντα καρπὸν καλόν, ἃ καὶ ἐκκόπτειν τῇ τοῦ Πνεύματος ἀξίνῃ, καὶ εἰς πῦρ ἐμβάλλειν ἐπάναγκες, ἵνα μὴ, τοῖς ἔργοις ταῖς ἀκάρποις τοῦ σπόρους παρασυρόμενοι ὅσοι τῶν πιστῶν ἀφελέστεροι, εἰς βάραθρα καταπίπτωσι ψυχικῆς ἀπωλείας. Τοιοῦτος τοίνυν ἐκ τῶν ἔργων ἀναφανεὶς καὶ ὁ πρὸ δύο καὶ ἡμίσεως ἤδη χρόνων Ἐπίσκοπος, ὡς μὴ ὤφελε, χειροτονηθεὶς Μακαριουπόλεως Ἱλαρίων, ὅσα μὲν, ἐν ἀλαζονείᾳ πολλῇ μελετήσας τὸ «θήσω τὸν θρόνον μου ὑπεράνω τοῦ Ὑψίστου», ὡς ὁ πρῶτος κατὰ τοῦ Θεοῦ ἀποστάτης ἑωσφόρος, ἐτεκτήνατο φρικτὰ καὶ κύτοις τοῖς δαίμοσι στασιώδη κινήματα, πρὸς τὸ δημιουργῆσαι ἐν τῷ ἀτόμῳ αὐτοῦ αὐτοκέφαλον καὶ ἀνεξάρτητον Ἐκκλησιαστικὴν ἀρχήν, ἀρξάμενος μὲν καὶ πρῶτον βῆμα ποιήσας ἀπὸ τῆς παύσεως τοῦ μνημονεύειν τοῦ Πατριαρχικοῦ ὀνόματος, ἐν ᾧ ἐτύγχανε προϊστάμενος εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου Στεφάνου κατὰ τὸν Βαλατᾶν, ἀκολούθως δὲ φρόνημα διαιρέσεως ἐμπνεύσας,

τῆς ὀρθοδοξίας ἀποσκιρτησάντων, ταχὺ τοὺς ἐξαπατήσαντας ἀπε-

καὶ διάθεσιν μισάδελφον, καὶ ἀναστατώσας τινὰς τῶν ὀρθοδόξων Βουλγάρων Χριστιανῶν ἔν τε τῇ Βασιλευούσῃ, καὶ τοὺς ἐν Βουλγαρικαῖς τισιν ἐπαρχίαις ἁπλουστέρους, καὶ παρορμήσας εἰς ἀνευλάβειαν, καὶ ἀπείθειαν πρὸς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, καὶ πρὸς τοὺς νομίμους Ἀρχιερεῖς αὐτῶν, δι' ἀνηκούστων συκοφαντιῶν κατὰ παντὸς τοῦ ὀρθοδόξου ἱεροῦ ἡμῶν Κλήρου· (καὶ γὰρ μαθητεύσας ἐν τῇ κατὰ τὴν Ἄνδρον πρὸ χρόνων συστηθείσῃ σχολῇ τοῦ ἀντιθέου Κοΐρη, ὡς ἐγνώσθη τῇ Ἐκκλησίᾳ ἐσχάτως, καὶ ἀπομαξάμενος, ὡς ἔοικεν, ἐκ τῆς ἐκείνου σχέσεως καὶ ἀναστροφῆς τὰς κακοδοξίας καὶ τὰ ἀσεβῆ καὶ ἀντιχριστιανικὰ αὐτοῦ φρονήματα, οὐ μόνον αὐτὸς διεφθάρη καὶ ψυχὴν καὶ διάνοιαν, ἀλλὰ καὶ πολλοῖς τῶν εὐσεβῶν ἐγένετο καὶ γίνεται διαφθορᾶς παραίτιος)· οὐ μὴν δὲ ἀλλὰ καὶ ὅσα ἄλλα, τῷ φυσήματι τοῦ αὐτοκεφάλου ἐπαρθείς, καὶ ταῖς ἐλπίσιν ὑπερθερμαινόμενος κατεπράξατο, προεξάρχων, καὶ πράρχος τοῦ πονηροῦ ἀγῶνος καταστάς, περὶ τούτων, φαμὲν, ὡς πασιγνώστων καὶ ἀναντιῤῥήτων, καὶ τὴν κοινὴν τοῦ ὀρθοδόξου λαοῦ διεγειράντων μομφὴν καὶ κατάκρισιν, περιττὸν ἂν εἴη διηγουμένους μακρηγορεῖν. Καίτοι δέ, ὡς ἔγνωμεν, προσκληθεὶς συνοδικῶς ἐπὶ τοῦ παναγιωτάτου προκατόχου ἡμῶν, παρουσιαζόντων καὶ τῶν μακαριωτάτων καὶ ἁγιωτάτων Πατριαρχῶν, τοῦ Ἀλεξανδρείας κ. Καλλινίκου, τοῦ Ἀντιοχείας κ. Ἱερωθέου, καὶ τοῦ Ἱεροσολύμων κ. Κυρίλλου, καὶ μετὰ τὸ ὑπομνησθῆναι καὶ συμβουλευθῆναι τὰ δέοντα, ἐπισήμως ἀνωμολογήσας αὖθις τὴν πρὸς τὸν Οἰκουμενικὸν θρόνον ὀφειλετικὴν εὐπείθειαν αὐτοῦ, καὶ καθυποσχεθεὶς ἐπανορθῶσαι τὴν ἀντικανονικὴν αὐτοῦ πρᾶξιν, ἣς οὐκ ἠδυνήθη ἔξαρνος γενέσθαι, ἀλλ' ὅμως ἀντὶ τούτου αὐθαδέστερον προσενεχθείς, ἔτι δὲ προσλαβόμενος συμπράκτορα αὑτῷ καὶ συνεργὸν καὶ τὸν πρώην Δυρραχίου Λυζεντίου, συμφρονοῦντα αὐτῷ, καὶ τοῖς ὅλοις σύμφωνον, καὶ τὰ πάντα ὁμοιοκακόβουλον, τότε δὴ ἀμφότεροι τὸν κατὰ τῆς Ἐκκλησιαστικῆς εἰρήνης πόλεμον ἐσυστήσαντο, παρασυναγωγὰς συγκροτοῦντες καὶ φατριασμούς, καὶ βέλη ἐπάλληλα καταῤῥοήσεως ἀποτοξεύοντες κατὰ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ μυρία ἐν σκότει κατεργαζόμενοι πρὸς τὸ σχίσαι καὶ μελίσαι τὴν πνευματικὴν αὐτῆς ἑνότητα· οὐ μὴν δὲ ἀλλὰ ἀποσταξάμενοι ἀναφανδὸν, καὶ ἀθετήσαντες τὸ γνωρίζειν ὅλως Πατριάρχην καὶ πνευματικὸν ἄρχηγὸν, οὐδ' ἐν νῷ ἔθεντο τὰ τῆς νομίμου καὶ κανονικῆς Ἐκκλησιαστικῆς ἀδείας ἐν ταῖς ἐκτελουμέναις ἀρχιεροπραξίαις αὐτῶν ἐν τῷ ῥηθέντι εὐκτηρίῳ οἴκῳ. Ταῦτα ἡ μετριότης ἡμῶν καὶ πρότερον μετὰ καιρίας λύπης διεπυνθάνετο, καὶ μετὰ τὴν, θείᾳ ἐλέει, ἀνάβασιν ἡμῶν ἐπὶ τὸν ἁγιώτατον Πατριαρχικὸν καὶ Οἰκουμενικὸν θρόνον ἐν μεγίστῃ ψυχῆς ἀγανακτήσει καθυρῶσα καὶ ἀμηχανίᾳ συνεχομένη δεινῇ, δι' ἣν, κρίμασι Θεοῦ, εὗρε διεγηγερμένην ἐν τῇ Ἐκκλησίᾳ πνευματικὴν ταύτην θύελλαν, ἀλλ'

λάκτισαν. Καὶ δὴ ὁ μὲν Παπυχειροτόνητος ἐπίσκοπος Ἰωσὴφ δ

οὖν ἀνοχῇ χρησαμένη πρὸς τὰς περιστάσεις, καὶ τὸ πρᾶον τῆς Ἐκκλησιαστικῆς μακροθυμίας, ἀφορμὴν καὶ καιρὸν διορθώσεως καὶ γνωσιμαχίας προτιθεῖσα τοῖς ἀκρίτοις τούτοις καὶ κακοβούλοις, ὑπομνησθεῖσι μάλιστα ἐκ πλαγίου καὶ δι' ἐπισήμων Ἐκκλησιαστικῶν τρισώπων τὴν ἐπίγνωσιν τῆς τῶν ἱερῶν αὐτῶν καθηκόντων παραβάσεως, ἐπειδὴ τελευταῖον κατεῖδεν αὐτοὺς οὐ μόνον ἀδιορθώτους, καὶ τῇ μοχθηρίᾳ καὶ ἀνταρσίᾳ ἐμμένοντας ἀμεταστρεπτί, ἀλλὰ καὶ χείρονας ἑαυτῶν γενομένους· κατὰ γὰρ τοὺς ἀχαλίνους τῶν ἵππων φερόμενοι, καὶ ἀπὸ ἀτόπου εἰς ἄτοπον ἑαυτοὺς ἐπιῤῥίπτοντες, ἔνθεν μὲν δι' ἐγγράφων ἀνοσίων καὶ αὐθαδῶν, καὶ πολλῆς λωποστομίας καὶ λαλαγῆς συγκαλύπτοντες τῆς παρανόμου αὐτῶν διαγωγῆς τὸν ἔλεγχον, οὐ διαλείπουσιν ἐπιτείνοντες τὴν κατὰ τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας ψυχρότητα τῶν πνευματικῶν αὐτῆς τέκνων Βουλγάρων Χριστιανῶν, καὶ δολιώτερον παροτρύνοντες αὐτοὺς εἰς τὴν ἀποσκίρτησιν ἀπὸ τῆς πρὸς αὐτὴν ἀφοσιώσεως καὶ ὑποταγῆς, ὥστε καὶ ἀποπλανηθῆναί τινας τῶν ἁπλουστέρων τούτων Χριστιανῶν τῆς τοιᾶσδε εὐσεβείας, καὶ εἰς Οὐνίτας καταντῆσαι, ἔνθεν δὲ ἐν οὐ παικτοῖς παίζοντες τὰ τῆς ἀπολύτου αὐτῶν αὐθεντίας ἐν τῷ ῥυθέντι εὐκτηρίῳ οἴκῳ, ὡς ἐν ἀσύλῳ πάσης ἀῤῥητοποιίας αὐτῶν, χειροτονίας τε ἐντελοῦσιν ἀγνώστων ὅλως τῇ Ἐκκλησίᾳ καὶ ἀμαρτύρων ἀτόμων, καὶ λειτουργίας καὶ πᾶσαν ἄλλην ἀρχιεροπραξίαν, ἄνευ μηδεμιᾶς ἡμετέρας Πατριαρχικῆς ἀδείας, τῆς παρὰ τῶν ἱερῶν κανόνων ὁριζομένης, σφετεριζόμενοι καὶ καταπατοῦντες ἐν ἀψηφησίᾳ τὰ τοῦ Πατριαρχικοῦ ἡμῶν θρόνου δικαιώματα, πρὸς δὲ καὶ ἄνευ τῆς ὀφειλομένης κανονικῆς παρατηρήσεως μετερχόμενοι τὰς ἱερωσύνας αὐτῶν· πρὸς γὰρ τοῖς λοιποῖς, διακόνους ἀνακοσχοσθέντας μετὰ τῶν Οὐνιτῶν γενομένων Βουλγάρων, ἐπιστραφέντας δὲ πάλιν παραδεξάμενοι ἀκαταρτίστους, καὶ χωρὶς τῆς ἐκτελέσεως τῶν νενομισμένων εἰς ἀπόδειξιν τῆς τῶν ὀθνείων δοξασιῶν ἀποστύσεως, εἰς ἱερεῖς ἐχειροτόνησαν. Ταύτην γοῦν τὴν ἐφάμαρτον καὶ πᾶσι τοῖς εὐσεβέσιν ἱερωμένοις καὶ λαϊκοῖς σκανδαλωδεστάτην αὐτῶν διαγωγὴν μηκέτι ἀνεχόμενοι ὁρᾶν ἐμφωλεύουσαν ἐν αὐτοῖς τοῖς κόλποις, ὡς εἰπεῖν, τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ ἀνοσίως καὶ αὐθαδῶς κατορχουμένην πρὸ αὐτῶν τῶν ὀφθαλμῶν ἡμῶν, δέον φάνην, καὶ ὄφλημα ἱερὸν, προνοήσασθαι ἐνεργητικώτερον τῆς ἀναγκαιοτάτης καὶ κακοῦ θεραπείας. Ἔνθεν τοι ἐπὶ τοῦ οὐσιώδους τούτου ἀντικειμένου, Συνόδου ὑπερτελεστάτης συγκροτηθείσης, παρευρισκομένων αὐτοπροσώπως τῶν τε παναγιωτάτων προκατόχων ἡμῶν Πατριαρχῶν πρώην Κωνσταντινουπόλεως τοῦ κ. Γρηγορίου καὶ τοῦ κ. Ἀνθίμου τοῦ Βυζαντίου, καὶ τῶν μακαριωτάτων Πατριαρχῶν· τοῦ Ἀλεξανδρείας κ. Καλλινίκου, τοῦ Ἀντιοχείας κ. Ἱεροθέου καὶ τοῦ Ἱεροσολύμων κ. Κυρίλλου, καὶ πάντων τῶν ἐνδημούντων ἐν τῇ

Σκόλοσκης σὺν τῷ περὶ αὐτὸν Πρεσβυτερίῳ, τῇ ὀκτωκαιδεκάτῃ

Βασιλευούσῃ ταύτῃ ἱερωτάτων Μητροπολιτῶν, καὶ θεοφιλεστάτων Ἐπισκόπων, σκέψις προὐτέθη, καὶ συζήτησις ἀκριβὴς ἐν ἐλευθέρᾳ ἐπεξεργασίᾳ, καὶ εἰλικρινεῖ ἑκάστου ἐκφράσει γνώμης ἀπαθοῦς, καὶ κρίσεως ὀρθῆς καὶ δικαίας. Καὶ προηγουμένως μὲν ἐξετέθη, ἀνακπτυχθεῖσα ἐν πᾶσιν, ἡ πρὸς τὰ θρησκευτικὰ καὶ ἀρχιερατικὰ καθήκοντα πολιτεία τῶν εἰρημένων δύω Ἀρχιερέων Μακαριουπόλεως Ἱλαρίωνος, καὶ πρώην Δυῤῥαχίου Αὐξεντίου, μηδένα τῶν ἁπάντων λανθάνουσα, ὡς δι' ἱκανοῦ χρόνου ἐκ τῶν πασιφανῶν αὐτῶν πράξεων, καὶ ἀπὸ διαφόρων δεδημοσιευμένων ἐγγράφων, καὶ ἄλλων μυρίων πραγματικῶν ἀποδείξεων κατάδηλος γεγενημένη, καὶ ἂν τρόπον περιείληπται ἐν τῷ παρόντι συνομολογουμένη· ἀκολούθως δὲ ἀνεπτύχθησαν τεθέντες ὑπ' ὄψιν καὶ οἱ ἱεροὶ Ἀποστολικοί τε καὶ Συνοδικοὶ κανόνες, οἱ περὶ τῶν τοιούτων κανονικῶν ἐγκλημάτων πραγματευόμενοι, καὶ παρεξετασθέντες πρὸς τὸ ἐκείνων πολίτευμα, καὶ τὰς ἐν ἐπιγνώσει καὶ ἐπιμονῇ τολμηθείσας παραβάσεις, ἀπέδειξαν αὐτοὺς ὑπευθύνους πορφανῶς, καὶ ἐνόχους καθαιρέσεως τῆς Ἀρχιερωσύνης αὐτῶν, ἅτε ματαιωθείσης καὶ τῆς τελευταίας προσεπιγενομένης ἀποπείρας περὶ τῆς διορθώσεως αὐτῶν, κατὰ τὴν διάλυψιν τῶν ἱερῶν κανόνων· ἐκτὸς γὰρ τῆς πρώτης, ὡς διείληπται, ἐμφανίσεως τοῦ Μακαριουπόλεως ἐν τῇ προσκαλεσαμένῃ τότε αὐτὸν ἱερᾷ Συνόδῳ, καὶ μετὰ τὴν ἐφεξῆς διάψευσιν τῶν πρὸς αὐτὴν ἐπισήμως δοθεισῶν αὐτοῦ ὑποσχέσεων, προσκληθέντες σήμερον ἀμφότεροι οὐ μόνον ἅπαξ καὶ δίς, ἀλλὰ καὶ τρίτον διὰ προσώπων ἱερατικῶν, παραγενέσθαι καὶ ἀπολογηθῆναι ἐνώπιον τῆς ἁγίας ταύτης καὶ ἱερᾶς Συνόδου, οὐκ ἠβουλήθησαν ἐλθεῖν, οὐδὲ κατεδέξαντο, ἀλλ' ἠπείθησαν καὶ παρήκουσαν, κορωνίδα καὶ τοῦτο τῆς ἀδιορθώτου ἀνταρτικῆς αὐτῶν γνώμης ἐπιθέμενοι. Ὁ μὲν οὖν λέ. ἱερὸς Ἀποστολικὸς κανὼν ἀποφαίνεται· « Εἴτις Πρεσβύτερος, καταφρονήσας τοῦ ἰδίου Ἐπισκόπου, χωρὶς συναγάγῃ καὶ θυσιαστήριον ἕτερον πήξῃ, μηδὲν κατεγνωκὼς τοῦ Ἐπισκόπου ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω ὡς φίλαρχος· τύραννος γάρ ἐστιν· ὡσαύτως καὶ οἱ λοιποὶ Κληρικοί, καὶ ὅσοι ἂν αὐτῷ προσθῶνται· οἱ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν· ταῦτα δὲ μετὰ μίαν καὶ δευτέραν καὶ τρίτην παράκλησιν τοῦ Ἐπισκόπου γενέσθω ». Ὁ δὲ έ. κανὼν τῆς ἐν Ἀντιοχείᾳ ἁγίας Συνόδου φησίν. « Εἴτις Πρεσβύτερος ἢ Διάκονος, καταφρονήσας τοῦ ἰδίου Ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς Ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγε, καὶ θυσιαστήριον ἔστησε, καὶ τοῦ Ἐπισκόπου προσκαλεσαμένου, ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι καὶ ὑπακούειν, καὶ πρῶτον καὶ δεύτερον καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μηδὲ δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν. Εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν Ἐκκλησίαν διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς στασιώδη αὐτὸν ἐπιστρέφεσθαι ». Καὶ ὁ λέ. δὲ Ἀποστολικὸς κανὼν ἀ-

τοῦ μηνὸς Ἰουνίου τοῦ αὐτοῦ ἔτους ἀφανὴς ἐγίγνετο, πολλά τε

προφαίνεται οὕτω. « Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτός, καὶ οὓς ἐχειροτόνησεν ». Οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ ιε'. κανὼν τῆς πρώτης καὶ δευτέρας Συνόδων ταὐτὰ ὑπαγορεύει. « Τὰ ὁρισθέντα περὶ Πρεσβυτέρων καὶ Ἐπισκόπων καὶ Μητροπολιτῶν πολλῷ μᾶλλον ἐπὶ Πατριαρχῶν ἁρμόζει, ὥστε, εἴτις Πρεσβύτερος, ἢ Ἐπίσκοπος, ἢ Μητροπολίτης τολμήσοι ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον Πατριάρχην κοινωνίας, καὶ μὴ ἀναφέροι τὸ ὄνομα αὐτοῦ, καθὰ τὸ ὡρισμένον καὶ τεταγμένον, ἐν τῇ θείᾳ μυσταγωγίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία Σύνοδος πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι ». Καὶ ταῦτα μὲν οἱ ἱεροὶ Κανόνες διαγορεύονται, καὶ τοι παλαῷ τῷ μέτρῳ βαρυτέρῳ ἐλεγχομένων τῶν ἐκείνοις κατεργασθέντων παρανομημάτων· ὡ μόνον γὰρ τῆς πρὸς τὴν ὀρθόδοξον Ἐκκλησίαν κοινωνίας ἀφώρισαν ἑαυτούς, Ἀρχιερεῖς ὄντες, καὶ παρ' αὐτῆς τὴν πνευματικὴν ἀξίαν καὶ χάριν δεξάμενοι, οὐδὲ ἠρκέσθησαν τῷ μὴ μνημονεύειν τοῦ Πατριαρχικοῦ ὀνόματος, καὶ Πατριάρχην μηδόλως γνωρίζειν, καὶ ἀπειθεῖν, καὶ χωρὶς τῆς Ἐκκλησιαστικῆς ἀδείας ἀρχιεροπρακτεῖν, ἀλλὰ καὶ πολέμιοι ἐκ τοῦ ἐμφανοῦς, καὶ σχισματίαι, καὶ δημεγέρται κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ ἐφωράθησαν, καὶ συκοφάνται καὶ ὑβρισταὶ, καὶ μηδεμίαν ἀκμὴν παραλείψαντες ἐπιθέσεως κατὰ τῆς πνευματικῆς ταύτης μητρὸς καὶ κατὰ παντὸς τοῦ ὀρθοδόξου ἱεροῦ Κλήρου, τοῦ ὑπὸ τὸν κατ' αὐτὸν ἁγιώτατον οἰκουμενικὸν θρόνον ὑποτελοῦντος. Διὰ ταῦτα τοίνυν κοινῇ ἐγκρίσει, καὶ ὁμογνώμῳ συναποφάσει ἡμῶν τε, καὶ πάσης τῆς ἱερᾶς ταύτης τῶν ἁγιωτάτων Πατριαρχῶν, καὶ ἱερωτάτων Μητροπολιτῶν, καὶ θεοφιλεστάτων Ἐπισκόπων χορείας, καὶ ἁγίας Συνόδου, δέδοκται δικαία, ἔννομός τε καὶ ἀπαραίτητος ἡ ὑπὸ τῶν ἐκτεθέντων ἱερῶν κανόνων ὑπαγορευομένη κατ' αὐτῶν ἐσχάτη ποινὴ τῆς παντελοῦς καθαιρέσεως, ἀνταξίως τοῖς παρανόμοις αὐτῶν ἔργοις καὶ πράξεσιν ἐφαρμοζομένη καὶ ἐπιβαλλομένη· πᾶσαν γὰρ παράβασιν καὶ παντοίαν τὴν μισθαποδοσίαν ἔνδικον ἔχειν διακελεύεται ὁ θεῖος Ἀπόστολος. Καὶ δὴ γράψοντες ἐν ἁγίῳ Πνεύματι μετά τε τῶν εἰρημένων σεβασμιωτάτων Πατριαρχῶν, καὶ μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων Μητροπολιτῶν καὶ θεοφιλεστάτων Ἐπισκόπων, τῶν ἐν ἁγίῳ Πνεύματι λίαν ἀγαπητῶν καὶ περιποθήτων ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ὁριζόμεθα καὶ συναποφαινόμεθα, ἵνα οἱ ἐξανοριασθέντες, ὅ,τε Μακαρισυπόλεως Ἱλαρίων καὶ ὁ πρώην Λυδραχίου Λύζέντιος, ὡς τοιοῦτοι τὴν φαυλότητα καὶ ὑπουργίαν καὶ μοχθηρίαν ἀναφανέντες, καὶ ἐν παραβάσει τῶν πρὸς Θεὸν ἐν τῇ χειροτονίᾳ αὐτῶν ἐπαγγελιῶν καταχρησάμενοι πολυτρόπως τῆς ἀρχιερατικῆς ἀξίας καὶ χάριτος, καὶ ἀντὶ σεβασμοῦ καὶ κανονικῆς ὑποταγῆς, ἀνταρσίαν

καλά τε πρότερον νουθετήσας καὶ ἐντειλάμενος τοῖς ὁμογενέσι,

νοσήσαντες κατὰ τῆς Ἐκκλησίας αὐτοῦ, καὶ πολέμιοι ἐπίσημοι καὶ ἀντίμαχοι αὐτῆς φωραθέντες, ἀπὸ δὲ ὁδηγῶν καὶ διδασκάλων ἀγάπης ἀδελφικῆς ἐν Χριστῷ, καὶ συμπνοίας, καὶ ἑνότητος πνευματικῆς, διαίρεσιν καὶ ψυχρότητα μισάδελφον, καὶ χωρισμὸν ἀπ' ἀλλήλων τοῖς ὀρθοδόξοις Χριστιανοῖς ὑποθέμενοι καὶ ὑπαγορεύσαντες ἀθεοφόβως, χλεύην τε τὰ θεῖα ἡγησάμενοι, καὶ ἀρχιερατικὰς πράξεις παρὰ τὰ νενομισμένα κανονικῶς ἐκτελέσαντες, καὶ κοινὸν σκάνδαλον τῷ Χριστωνύμῳ πληρώματι κατασήσαντες, καὶ ἐκ πάντων τούτων ἐγκλήματαί ἀποδειχθέντες, καὶ ἀνάξιοι τοῦ ἀρχιερατεύειν τῷ ὑψίστῳ Θεῷ καταμαρτυρηθέντες, καθηρημένοι ὑπάρχωσι πάσης Ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως, καὶ ἔκπτωτοι τοῦ Ἀρχιερατικοῦ καταλόγου, καὶ γεγυμνωμένοι τῆς θείας χάριτος, καὶ ἀλλότριοι τῆς χορείας τῶν ἱερωμένων, καὶ ἀπόβλητοι τῶν ἱερῶν περιβόλων, καὶ ὡς βέβηλοι καὶ ἰδιῶται γνωριζόμενοι, καὶ μηδεὶς τολμήτη συμφορέσαι αὐτούς, ἢ συλλειτουργῆσαι, ἢ τὰς ἀνίερους αὐτῶν χεῖρας ἀσπάσασθαι, ἢ ὡς Ἀρχιερεῖς καὶ ἁπλῶς ἱερωμένους δέξασθαι καὶ τιμῆσαι, ἢ ὕλως ὑπερασπισθῆναι καὶ βοηθῆσαι αὐτοῖς, ὡς καθηρημένοις καὶ πάντη ἀνιέροις, ἐν βάρει ἀργίας ἀσυγχώστου καὶ ἀλύτου ἀφορισμοῦ, τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος. Σὺν δὲ τούτοις καὶ οὓς ἐχειροτόνησαν ἐν τῷ ῥηθέντι εὐκτηρίῳ οἴκῳ ἄνευ Πατριαρχικῆς κανονικῆς ἀδείας καὶ ἐκδότεως Ἱερεῖς ἢ Διακόνους, ὡς ἀθεμίτου γνωριζομένης καὶ συγκατακρινομένης παρὰ ταῖς θείαις καὶ ἱεραῖς κανόσι τῆς τοιαύτης χειροτονίας αὐτῶν, ἔστωσαν καὶ αὐτοὶ καθηρημένοι πάσης ἱερατικῆς καὶ διακονικῆς ἀξίας καὶ ἀνίεροι, καὶ εἰς τὴν τῶν λαϊκῶν τάξιν κατεννεγμένοι.

Οὕτω γενέσθω ἐξ ἀποφάσεως.

αωξά, κατὰ μῆνα Φεβρουάριον, ἐπινεμήσεως Δ'.

† Ὁ Πατριάρχης Κωνσταντινουπόλεως ἀποφαίνεται.

† Ὁ Πατριάρχης πρ. Κωνσταντινουπόλεως Γρηγόριος συναποφαίνεται·
† Ὁ πρώην Κωνσταντινουπόλεως Ἄνθιμος συναποφαίνεται.
† Ὁ Πατριάρχης Ἀλεξανδρείας Καλλίνικος συναποφαίνεται.
† Ὁ Πατριάρχης Ἀντιοχείας Ἱερόθεος συναποφαίνεται.
† Ὁ Πατριάρχης Ἱεροσολύμων Κύριλλος συναποφαίνεται.

† Ὁ Ἐφέσου Παΐσιος.	† Ὁ Ἡρακλείας Πανάρετος.
† Ὁ Κυζίκου Ἰάκωβος.	† Ὁ Νικομηδείας Διονύσιος.
† Ὁ Χαλκηδόνος Γεράσιμος.	† Ὁ Δέρκων Γεράσιμος.
† Ὁ Πόντου Ἰγνάτιος.	† Ὁ Ῥόδου Ἰγνάτιος.
† Ὁ Σερρῶν Νικόδημος.	† Ὁ Φιλαδελφείας Μελέτιος.
† Ὁ Μελενίκου Διονύσιος.	† Ὁ Σοφίας Γεδεών.

μεμνῆσθ' ἀπιστεῖν ταῖς ὅθεν ποθὲν ἀναδυνούσαις ἀλώπε-

† Ὁ Χίου Γρηγόριος.
† Ὁ Καισανδρείας Νεόφυτος.
† Ὁ Δρυϊνουπόλεως Παντελεήμ.
† Ὁ Βράτσης Παΐσιος.
† Ὁ Τρίκκης Μελέτιος.
† Ὁ Ἐλασσῶνος Ἰγνάτιος.
† Ὁ Σαμακοβίου Ματθαῖος.
† Ὁ Σβορνικίου Ἀγαθάγγελος.
† Ὁ Νυσσάβας Δωρόθεος.

Γ') ΚΑΘΑΙΡΕΣΙΣ ΦΙΛΙΠΠΟΥΠΟΛΕΩΣ ΠΑΪΣΙΟΥ.

ΙΩΑΚΕΙΜ ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Οἱ τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ Πατριαρχικῷ Ἀποστολικῷ καὶ Οἰκουμενικῷ θρόνῳ ὑποκείμενοι ἱερώτατοι Μητροπολῖται, καὶ ὑπέρτιμοι, καὶ θεοφιλέστατοι Ἀρχιεπίσκοποί τε καὶ Ἐπίσκοποι, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοί, καὶ ἐντιμότατοι Κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ ἑκάστης ἐπαρχίας, καὶ εὐλαβέστατοι Ἱερεῖς, καὶ ὁσιώτατοι Ἱερομόναχοι, οἱ ψάλλοντες ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ καὶ ὅλου τοῦ Καταστένου, καὶ ἀπανταχοῦ, καὶ λοιποὶ εὐλογημένοι Χριστιανοί, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν Μετριότητος· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. «Ὁ μὴ γνοὺς καὶ ποιήσας, ὀλίγα, ὁ δὲ γνοὺς καὶ ποιήσας πολλὰ δαρήσεται», ὁ Κύριος ἡμῶν ἐν Εὐαγγελίοις φησίν· ὅ ἐστι, παιδείας ἐπάγεσθαι δεῖ κατὰ τῶν ἁμαρτανόντων· καὶ εἰ μηδὲ τοὺς ἐν ἀγνοίᾳ πταίοντας ἀτιμωρήτους ἀφίησι, πολλῷ μᾶλλον τοὺς ἐν ἐπιγνώσει καὶ καταφρονητικῶς ἐκ συστήματος πλημμελοῦντας. Ἤν δέ γε, κρίμασι Θεοῦ, κατὰ τῶν θείων καὶ ἱερῶν κανόνων, καὶ παρὰ προσώπων Ἀρχιερατικῶν, τῶν τὴν ἐκείνων διατήρησιν καὶ φυλακὴν ὡς ἱερὰν παρακαταθήκην δεξαμένων, τὰ τῆς παραβάσεως ἔργα τετολμῆται, ἐπὶ σκανδάλῳ καὶ ψυχικῇ βλάβῃ τῶν εὐσεβῶν, τότε δὴ καὶ ἀνυπέρθετον τοῖς ἁλαζόσι τούτοις τὴν παρ' ἐκείνων τῶν θείων κανόνων ὁριζομένην ποινὴν ἐπάγεσθαι δίκαιον ἅμα καὶ ἀναγκαῖον· " οἱ γὰρ ἀποστατοῦντες τῶν τοῦ Θεοῦ δικαιωμάτων ἐξωθοῦνται ἀπὸ προσώπου αὐτοῦ ». Ἐπειδὴ ταιγαροῦν καὶ ὁ πρὸ τριῶν ἤδη χρόνων μετατεθεὶς ἀπὸ Σμύρνης εἰς τὴν ἁγιωτάτην Μητρόπολιν Φιλιππουπόλεως Παΐσιος, καὶ τοι παιδείᾳ συγκεκροτημένος, καὶ γνώσεις κεκτημένος τῶν ἱερῶν κανόνων καὶ τῶν Ἐκκλησιαστικῶν ἐθίμων καὶ τάξεων, ἀστάθμητον μέν τοι, ὡς εἰπεῖν, καὶ ἰδιόῤῥυθμον ἐνδειξάμενος πολίτευμα, πεφώραται ἀπό τινος καιροῦ ἀσυγγνώστοις κανονικαῖς παραβάσεσι καὶ παρεκτροπαῖς ἐπιῤῥίψας ἑαυτόν· ἵνα δὲ τ' ἄλλα παρῶμεν, ἀπόχρη μόνον στηλιτεῦσαι καὶ ἀποδεῖξαι τὰς τῆς ἀνταρσίας αὐτοῦ κατὰ τῆς τοῦ Θεοῦ Ἐκκλησίας δυλίους καὶ καταχθονίους πράξεις, δι' ἃς ἐνδίκως ἤδη ἀποκοπτόμενος τῆς τῶν Ἀρχιερέων καὶ ἱερω-

ξύνη, οὐδὲν ὅ, τιμὴ καθυπισχνουμένους ὑπὲρ τοῦ ἀγρεῦσαι ψυχάς

μένων ὁλομελείας, ὡς μέλος ἄχρηστον καὶ σεσηπὸς ἀπορρίπτεται. Τῇ γὰρ ὡς λοιμώδει ἀπό τινος καιροῦ, κρίμασι Θεοῦ, ἐνεκηφώσῃ ἀνταρτικῇ φαντασίᾳ αὐτοκεφάλου ἐν Βουλγαρίᾳ Ἐκκλησιαστικῆς ἀρχῆς, ἧς ἀντιθέου προθέσεως πρόαρχος ἐγένετο ὁ παλαμναῖος ἐκεῖνος Μακαριουπόλεως Ἱλαρίων, ὁ πρὸ μικροῦ ἐνδίκως καθαιρέσει Συνοδικῶς καθυποβληθεὶς μετὰ τοῦ ὁμόφρονος αὐτῷ πρ. Δυῤῥαχίου Λύξεντίου, καταληφθεὶς καὶ οὗτος ὁ Φιλιππουπόλεως Παΐσιος, πρῶτον μὲν ἐν τῇ προγεγονυίᾳ πανδήμῳ καὶ κοινῇ παντὸς τοῦ ἱεροῦ ἡμῶν Κλήρου, καὶ τοῦ Ὀρθοδόξου πληρώματος, τοῦ ἐν πάσαις ταῖς τοῦ Οἰκουμ. Θρόνου ἐπορχίαις διατελοῦντος κανονικῇ ἐκλογῇ Οἰκουμενικοῦ Πατριάρχου, προσκληθεὶς καὶ αὐτὸς Ἐκκλησιαστικῶς δοῦναι τὴν γνώμην αὐτοῦ, οὐκ ἠθέλησεν, οὐδὲ ψηφοδέλτιον ἀπέστειλε, μόνος ἐξ ἁπάντων τῶν Μητροπολιτῶν ἀποκλείσας ἑαυτὸν καὶ ἀποστερήσας τῆς ἱερᾶς ἐκείνης πράξεως. Γράψας δὲ τότε τῇ Ἐκκλησίᾳ, ἔτι δὲ καὶ ἴσον γράμματος, παρά τινων ἐκείσε Χριστιανῶν ἐπιδοθέντος αὐτῷ, συναποστείλας, οὐ μόνον ὡμολόγησε καὶ διετράνωσε τὴν παραδοχὴν τῆς ἀποκρίτου ἀρχῆς τοῦ αὐτοκεφάλου, καὶ τῆς ἀποσπάσεως ἑαυτοῦ ἀπὸ τῆς ὁμοψήφου πνευματικῆς ἑνότητος πρὸς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, παραστήσας ἐκ προκαταβολῆς, ὡς εἰπεῖν, ὅτι οὐ γνωρίσει τὸν ἐκλεχθησόμενον Πατριάρχην, ἀλλὰ καὶ ἔργῳ τοῦτο ἀπέδειξεν ἀκολούθως, καταργήσας καὶ ἐξαλείψας τὸ πρῶτον γνώρισμα τῆς πρὸς τὸν ἁγιώτατον Οἰκουμενικὸν Θρόνον ὑποταγῆς αὐτοῦ, καὶ παυσάμενος μνημονεύειν τοῦ λοιποῦ τοῦ Πατριαρχικοῦ ὀνόματος ἐν ταῖς ἱεραῖς τελεταῖς, ἀπ' ἐναντίας τῆς διαγορευούσης τῶν ἱερῶν κανόνων. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἀπαρακαλύπτως ἔν τινι πρὸ τριῶν μηνῶν ἀπαστελέντι ἡμῖν γράμματι αὐτοῦ ἐκήρυξεν ἑαυτὸν ἀλλότριον πάσης πρὸς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν σχέσεως αὐτοῦ καὶ κοινωνίας, ἅτε δὴ παρακολουθήσων, καὶ, καθὰ ἐπὶ λέξεως ἔγραψε, συμμορφωθησόμενος τῇ θελήσει τῆς μερίδος τῶν τὴν αὐτοκέφαλον Ἐκκλησιαστικὴν ἐν Βουλγαρίᾳ ἀρχὴν ἐπισπευδόντων. Ταῦτα δὲ τὰ ἀνταρτικὰ αὐτοῦ κινήματα καὶ φρονήματα, εἰ καὶ ἀρκούντως εἶχον πρὸς ἀνυπέρθετον καὶ ἔνδικον αὐτοῦ κατάκρισιν, ἀλλ' ὅμως, μακροθυμίᾳ Ἐκκλησιαστικῇ τρόπον αὐτῷ διορθώσεως προμηνυστεύοντες, μετεκαλεσάμεθα διὰ Πατριαρχικῆς καὶ Συνοδικῆς ἡμῶν ἐπιστολῆς ἐλθεῖν καὶ δοῦναι τῇ Ἐκκλησίᾳ λόγον τῆς τοιαύτης ἀκαταλλήλου καὶ ἀντικανονικῆς αὐτοῦ διαγωγῆς. Ἀλλὰ καὶ τῆς Ἐκκλησιαστικῆς ταύτης προσκλήσεως οὐ μόνον κατεφρόνησε, μὴ φανεὶς εἰς δεῦρο, δύω μηνῶν ἤδη διαγενομένων, ἀλλ' οὐδὲ ἀπεκρίσεως ὅλως ἠξίωσεν ἡμᾶς ὁ ἀλαζὼν οὗτος καὶ ἀγνώμων πρὸς τὴν εὐεργετήσασαν αὐτὸν καὶ τιμήσασαν παρ' ἀξίαν πνευματικὴν ταύτην Μητέρα. Ἔνθεν τοι ἐν εὐθέτῳ καιρῷ τῆς ἐν Χριστῷ συγκροτηθείσης πρὸ μικροῦ μεγάλης καὶ ἁγίας Συνόδου, συμπαρουσιαζόντων προσωπικῶς τῶν τε παναγιωτάτων προκατόχων ἡμῶν

τε καὶ σώματα. Τὰ δὲ ἐν τῇ Οὐλίᾳ περιλειφθέντα συντρίμματα,

πρώην Κωνσταντινουπόλεως: τοῦ κυρίου Γρηγορίου, καὶ τοῦ κυρίου Ἀνθίμου τοῦ Βυζαντίου, καὶ τῶν μακαριωτάτων Πατριαρχῶν: τοῦ Ἀλεξανδρείας κυρίου Καλλινίκου, τοῦ Ἀντιοχείας κυρίου Ἱεροθέου καὶ τοῦ Ἱεροσολύμων κυρίου Κυρίλλου, καὶ τῶν ἐνδημούντων ἱεροτάτων Μητροπολιτῶν καὶ θεοφιλεστάτων Ἐπισκόπων, ἐκτεθεῖσα ἐνώπιον πάντων, καὶ μετὰ σκέψεως ἀπαθοῦς καὶ δικαίας συζητηθεῖσα, καὶ ἀκριβῶς ἐπεξεργασθεῖσα ἢ ὡς διείληπται, διαγωγὴ τοῦ εἰρημένου Ἀρχιερέως Φιλιππουπόλεως Παϊσίου πρὸς τὰ τοῖς γνησίοις Ἀρχιερεῦσιν ἀπαραιτήτως ὀφειλόμενα ἱερὰ καθήκοντα, ἐξελεγχθεῖσα καὶ διαβεβαιωθεῖσα ἀπὸ τῶν ἰδίων αὐτοῦ γραμμάτων, τῶν τε πρὸ τῆς ἡμετέρας, θείᾳ ἐλέει, Πατριαρχείας, καὶ ἐφεξῆς σταλέντων τῇ Ἐκκλησίᾳ, ἀνεφάνη πανταχόθεν καὶ ἀναμολόγηται ἀντικειμένη τοῖς ἱεροῖς κανόσι, καὶ τῷ βαρυτάτῳ ἐγκλήματι τῆς ἀνταρσίας χαρακτηριζομένη, σκανδαλώδης τε καὶ ἀφόρητος τῇ Ἐκκλησιαστικῇ εἰρήνῃ, καὶ ἰδίως τοῖς Χριστιανοῖς τῆς ἐπαρχίας ἐκείνης Φιλιππουπόλεως ψυχοβλαβὴς, καὶ τῆς ἐν Χριστῷ ἀδελφικῆς καὶ Χριστιανικῆς ἑνότητος αὐτῶν πολέμιος, καὶ διὰ ταῦτα ὑπεύθυνος τῇ παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων ἐπιβαλλομένῃ ποινῇ τῆς παντελοῦς καθαιρέσεως. Πολλῶν μὲν οὖν καὶ ἄλλων ἱερῶν κανόνων ἐναργῶς περὶ τῶν τοιούτων καθοσιώσεως ἐγκλημάτων πραγματευομένων, καὶ παντελεῖ καθαιρέσει τοὺς τολμητίας ὑποβαλλόντων, ἀρκέσει μνησθῆναι μόνον τοῦ ΙΕ'. τῆς ΛΒ'. ἐν Κωνσταντινουπόλει ἁγίας Συνόδου ἱεροῦ κανόνος, ἀποφαινομένου. «Εἴ τις Πρεσβύτερος, ἢ Ἐπίσκοπος, ἢ Μητροπολίτης τολμήσει ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον Πατριάρχην κοινωνίας, καὶ μὴ ἀναφέρει τὸ ὄνομα αὐτοῦ, κατὰ τὸ ὡρισμένον καὶ τεταγμένον, ἐν τῇ Θείᾳ Μυσταγωγίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία Σύνοδος πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι.» Κοινῇ οὖν ὁμοψήφῳ γνώμῃ τε καὶ ἐγχρίσει, συνῳδὰ τῇ διακελεύσει τῶν ἱερῶν κανόνων, γράφοντες ἐν ἁγίῳ Πνεύματι ὁριζόμεθα καὶ συναποφαινόμεθα, ἵνα ὁ διαληφθεὶς, ὡς μὴ ὤφελε, Φιλιππουπόλεως Παΐσιος, ὡς παραβάτης τῶν πρὸς Θεὸν ἐν τῷ καιρῷ τῆς χειροτονίας αὐτοῦ δι' ἐγγράφου καὶ ὑπογραφῆς αὐτοῦ ὁμολογίας ὑποσχέσεων τοῦ συμφρονεῖν κατὰ πάντα τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ πείθεσθαι καὶ ὑποτάσσεσθαι τῷ κατὰ καιροὺς Οἰκουμενικῷ Πατριάρχῃ, ὡς ἀνταρσίαν νοσήσας κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ, καὶ σκάνδαλα καὶ μισαδελφειαν καὶ ταραχὴν ἐμποιήσας τοῖς τὴν Εὐαγγελικὴν ἀγάπην καὶ ὁμόνοιαν ὀφείλουσι νουθετεῖν ἐμπιστευθεῖσιν αὐτῷ Χριστιανοῖς, ἔτι δὲ καὶ τῶν ἱερῶν κανόνων ὑπερόπτης καὶ καταφρονητὴς φωραθεὶς ἔν τε τρόποις καὶ ἐν γράφαις, καὶ ἐκ πάντων τούτων καὶ ἄλλων αὐτοῦ παρεκτρόπων ἐγκλημάτων, καὶ ἀνάξιος τοῦ ἀρχιερατεύειν τῷ ὑψίστῳ Θεῷ καταμαρτυρηθεὶς, καθῃρημένος ὑπάρχῃ πάσης Ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως, καὶ ἔκπτωτος τοῦ Ἀρχιερατικοῦ καὶ Ἱερατικοῦ καταλόγου, καὶ γεγυμνωμένος

ἐπομένου διελήλυθότος, μόλις εὗρισκε τὸν ἐπιτροπεύσοντα καὶ

τῆς θείας χάριτος, καὶ ἀλλότριος τῆς χορείας τῶν ἱερωμένων, καὶ ἀπόβλητος τῶν ἱερῶν περιβόλων, καὶ ὡς ἰδιώτης καὶ λαϊκὸς γνωριζόμενος· καὶ μηδεὶς τολμήτη συμφορέσθαι αὐτῷ, ἢ συλλειτουργῆται, ἢ τὴν ἀνίερον αὐτοῦ χεῖρα ἀσπάσασθαι, ἢ ὡς Ἀρχιερέα καὶ ἁπλῶς ἱερωμένον δέξασθαι καὶ τιμῆσαι, ἢ ὅλως ὑπερασπισθῆναι καὶ βοηθῆσαι αὐτῷ.» ὡς καθῃρημένῳ καὶ πάντῃ ἀνιέρῳ, ἐν βάρει ἀργίας ἀσυγγνώστου, καὶ ἀλύτου ἀφορισμοῦ, τοῦ ἀπὸ Θεοῦ Κυρίου Παντοκράτορος.

Οὕτω γενέσθω ἐξ ἀποφάσεως.

φωξά. κατὰ μῆνα Φεβρουάριον, ἐπινεμήσεως Δ'.

† Ὁ Πατριάρχης Κωνσταντινουπόλεως ἀποφαίνεται.

† Ὁ Πατριάρχης πρ. Κωνσταντινουπόλεως Γρηγόριος συναποφαίνεται.
† Ὁ Πατριάρχης πρ. Κωνσταντινουπόλεως Ἄνθιμος συναποφαίνεται.
† Ὁ Πατριάρχης Ἀλεξανδρείας Καλλίνικος συναποφαίνεται.
† Ὁ Πατριάρχης Ἀντιοχείας Ἱερόθεος συναποφαίνεται.
† Ὁ Πατριάρχης Ἱεροσολύμων Κύριλλος συναποφαίνεται.

† Ὁ Ἐφέσσου Παΐσιος.
† Ὁ Κυζίκου Ἰάκωβος.
